gam orientalem, ad Abderam, Maroneam et Aenum civitates, ad Strymonis autem regionem occiduam, Bisaltiam omnem et Sicticam, Heracleam interiacent, complectebatur; secundam partem ab oriente Strymon fluvius, ab occidente dictus Axius et his affinia loca terminabant; partem tertiam ad occidentem Peneus fluvius et ad boream Bernus mons circumscribebant, quibus Pannoniae loca quaedam adiungebantur, Edesa nimirum et Berrhoea civitates praeclarae; quarta trans Bernum montem Epiri et Illyrici loca cuncta superioribus annectebat. Urbes totidem quatuor istis partibus praeerant; ac primae quidem Amphipolis; secundae Thessalonica; tertiae Pella; quartae Pelagonia dominabatur. In his magistratus quatuor constituti, ad quos collecta vectigalia deferebantur. Ad Macedoniae limites vicinorum populorum refraenandis incursibus praesidia posita. Ludos insuper et munera edidit Aemilius; congiarium in populum sanxit; opes autem repertas Romam mittendas curavit; vici quoque retribuendae Aemilio et sub eo meritis ducibus Romam reversis triumphum decrevit senatus. Anicius quidem et Octavius classis praefectus suo die duxit uterque sibi proprium; prudentissimi Aemilii triumpho tres assignati; primo quidem currus mille ducenti



τραχείας ἀσπίδας, καὶ ἄλλαι χίλιαι διακόσιαι ἅμαξαι πλήρεις ἀσπίδων χαλκῶν, καὶ ἕτεραι τριακόσιαι λόγχας καὶ σαρίσσας καὶ τόξα καὶ ἀκόντια γέμουσαι. προηγοῦντο δὲ αὐτῶν ὡς ἐν πολέμῳ σαλπιγκταί. ἦσαν δὲ καὶ ἄλλαι πολλαὶ ποικίλα εἴδη φέρουσαι ὅπλων, κάμακες ὀκτακόσιαι καθωπλισμέναι. τῇ δὲ δευτέρᾳ προεκομίσθη νομισμάτων τάλαντα χίλια, ἀργύρου τάλαντα δισχίλια διακόσια, ἐκπωμάτων πλῆθος, ἀγαλμάτων καὶ ἀνδριάντων ποικίλων ἅμαξαι πεντακόσιαι, ἀσπίδες τε χρυσαῖ καὶ πίνακες ἀναθεματικοὶ πάμπολλοι. τῇ τρίτῃ προηγοῦντο λευκαὶ βόες εὐπρεπεῖς ρκ', χρυσοῦ τάλαντα ἐν φορήμασι διακοσίοις εἴκοσι, φιάλη δέκα ταλάντων χρυσοῦ διάλιθος, P. 269 χρυσωμάτων παντοῖαι κατασκευαὶ ταλάντων δέκα, ἐλεφάντων ὀδόντες δισχίλιαι τριπήχεις, ἅρμα ἐλεφάντινον ἐκ χρυσοῦ καὶ λίθων, ἵππος φαλάροις διάλιθος καὶ τῇ λοιπῇ κατασκευῇ διαχρύσῳ πολεμικῶς κεκοσμημένος, κλίνη χρυσῆ στρωμναῖς πολυανθέσι κατεστρωμένη, φορεῖον χρυσοῦν περιπεπετασμένον πορφύραν, ἐφ' οἷς Περσεὺς ὁ δυστυχὴς βασιλεὺς Μακεδόνων ἅμα δυσὶν υἱοῖς καὶ θυγατρὶ μιᾷ καὶ τοῖς ἡγεμόσι διακοσίοις πεντήκοντα· στέφανοι τετρακόσιοι δοθέντες ἐκ τῶν πόλεων καὶ τῶν βασιλέων, καὶ ἐπὶ πᾶσιν Αἰμίλιος ἐφ' ἅρματος ἐλεφαντίνου καταπλήκτου. B

1. τραχίας B. Post ἅμαξαι in B folium unum excidit, quod pertinuit usque ad ζήσας ἔτη πγ' p. 270 d. 5. ὅπλων addidi ex A. κάμακες] καὶ μάκες A. 13. φαλάροις Scaliger. φιλάροις A. φαλάραις G.

candidos brevesque clypeos praeferebant; tum alii mille ducenti clypeis aereis onusti; postremo trecenti lanceis, sarissis, telis et iaculis pleni vehebantur. Praeibant, qui acies praecedunt, tubicines. Sequebantur alii currus varia bellicorum tormentorum supellectile referti; tum vero hastae 800 ferramentis instructae. Delata die secundo nummorum signatorum talenta 1000, argenti talenta 2000, pocula 500, statuarum et variarum imaginum vehentes immensum numerum currus 200 clypei aurei, pateraeque deorum sacris dicatae quam plurimae. Diei tertii pompae praeibant boves formosi centum et viginti; auri talenta oneribus ducentis et viginti compacta; phiala talentorum auri decem gemmis undequaque radians, aurea variaque supellex talentorum decem, dentes elephantum bis mille singuli cubitorum trium longitudinis, currus eburneus auro lapillisque onustus, equus gemmatis phaleris reliquoque apparatu aureo et bellis solito ornatus, lectus aureus floridis ac mollibus stragulis instructus et aurea sella purpura circumtecta. Perseus infelix Macedonum rex cum filiis duobus et filia et ducibus ducentis et quinquaginta pone sequebatur; coronae quadringentae a civitatibus et regibus oblatae; agmen extremum clausit eburneo curru arte mira composito vectus Aemilius.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰουδαίων ἀρχιεράτευσεν ἕβδομος Ὀνείας υἱὸς Ἰαδδοῦς ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερο'.

Ἰουδαίων Ὀνείας ἀρχιερεὺς ἐγνωρίζετο υἱὸς Ἰαδδοῦς ἀρχιερέως.

Ἀρχιεράτευσεν η' Σίμων υἱὸς Ὀνείου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερϟα'.

Σίμων Ἰουδαίων ἀρχιερεὺς υἱὸς Ὀνείου ἐγνωρίζετο, ὃς δι'
C εὐσέβειαν πρὸς θεὸν δίκαιος ἐκλήθη καὶ τὴν πρὸς τοὺς ὁμοφύλους εὔνοιαν.

V. 215 Ἰουδαίων ἀρχιεράτευσεν θ' Ἐλεάζαρ Σίμωνος ἀδελφὸς ἀντ' Ὀνείου παιδὸς Σίμωνος νηπίου καταλειφθέντος, ἐφ' οὗ αἱ γραφαὶ ἑρμηνεύονται, ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσι'.

Ἰουδαίων ἀρχιεράτευσε ι' μετὰ Ἐλεαζάρου Μανασσῆς ὁ θεῖος τοῦ Ὀνείου ἔτη κς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσμβ'.

Ἰουδαίων ἀρχιεράτευσεν ια' Ὀνείας ὁ προρρηθεὶς νήπιος υἱὸς
D Σίμωνος τοῦ δικαίου κληθέντος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσξη'.

Οὗτος Πτολεμαίου παρελογίσατο τὸν συνήθη φόρον μὴ τελῶν. Ἰώσηππος δέ τις ἀφανὴς Ἰουδαῖος πρὸς Πτολεμαῖον στειλάμενος καὶ δῆθεν τὴν ὀργὴν θεραπεύσας στρατηγὸς ὑπ' αὐτοῦ τῆς ὅλης Ἰουδαίας καθίσταται.

2 et 4. ὀνείας A. Ονίας G. 2 ἰασδδοὺς (sic) A. 4. ἰασδδοῦ A. 6. ἔτη ιθ' addidit m. 8. ἰουδαίων add. A. ὀνίου A. 11. ἀντ' Ὀνείου] ἀντωνίου A. 12. ἐφ' — ἑρμηνεύονται hoc loco A: G post ,εσι'. 14. Ἐλεάζαρον m. 15. ὀνίου A. 16. ὀνίας A.

### ANNI MUNDI.

Iudaeorum pontifex 7 fuit Onias filius Iaddus annis 21, mundi vero 5170.

Onias Iudaeorum pontifex Iaddus pontificis filius celebrabatur.

Iudaeorum pontifex 8 Simon Oniae filius annis 19, mundi vero 5191.

Simon pontifex Oniae filius clarebat, ob pietatem in deum et contribules urbanitatem Iustus nuncupatus.

Iudaeorum pontifex 9 Eleazar Simonis frater, Antonio Simonis filio propter infantiam a sacerdotii munere remoto, annis 32, mundi vero 5210.

Eius tempore scripturae Graecum in sermonem translatae sunt.

Iudaeorum pontifex 10 mortuo Eleazaro Manasses Oniae filius annis 26, mundi vero 5242.

Iudaeorum pontifex 11 Onias puer memoratus, Simonis cognomento Iusti filius, annis 14, mundi vero 5268.

Iste solitis vectigalibus non pensis Ptolemaeum regem decepit; quare Iosephus vir quidam ignobilis ad Ptolemaeum, ut eius iram placaret missus, Iudaeae totius dux ab eo constituitur.



### Μακεδόνων βασιλεῖς.

Μακεδόνων πρῶτος ἐβασίλευσε μετὰ Ἀλέξανδρον Φιλίππου ὁ Ἀριδαῖος ἔτη ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερoα'.

Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον. P. 270

Μακεδόνων β' ἐβασίλευσε Κάσανδρος ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εροη'.

Μακεδόνων γ' ἐβασίλευσαν παῖδες Κασάνδρου Φίλιππος καὶ Ἀλέξανδρος καὶ Ἀντίπατρος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερϟζ'.

Μακεδόνων δ' ἐβασίλευσε Δημήτριος ὁ Ἀντιγόνου Πολιορκητὴς ὁ καὶ τῆς Ἀσίας ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσ'.

Μακεδόνων ε' ἐβασίλευσε Πύρρος μῆνας ζ'.

Μακεδόνων ς' ἐβασίλευσε Λυσίμαχος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν B
ἔτος ,εσς'.

Μακεδόνων ζ' ἐβασίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσι'.

Μακεδόνων η' ἐβασίλευσε Πτολεμαῖος Μελέαγρος ἀδελφὸς Πτολεμαίου τοῦ Λάγου μῆνας δύο.

Τὴν Μακεδονίας ἀρχὴν Μελέαγρος παραλαμβάνει μετὰ τὴν ἀναίρεσιν Πτολεμαίου τοῦ Λάγου ἀδελφοῦ αὐτοῦ, ὃν εὐθὺς ἐκβάλλουσι Μακεδόνες μετὰ μῆνας δύο, ὡς ἀνάξιον φανέντα, καὶ ἀντ' αὐτοῦ βασιλεύουσιν Ἀντίπατρον, ἀδελφιδοῦν μὲν Κασάν-

1 om. A. 4. Πολυπέρχης] Πολυσπέρχης m. Πολυπέρχης etiam infra dicitur p. 274 d. Vera nominis scriptura Πολυσπέρχων est. 12. τοῦ δὲ κόσμου ,εας' add. m. 14. ,εσζ' m. 19. μακεδονίας A. Μακεδόνων G.

### Macedonum reges.

Macedonum rex primus post Alexandrum Philippi fuit Aridaeus annis 7, mundi vero 5171.

Polysperches Antipatri filius Aridaeum interfecit.

Macedonum rex 2 Cassander annis 19, mundi vero 5178.

Macedonibus loco tertio reges fuerunt Cassandri filii tres Philippus, Alexander et Antipater, annis 3, mundi vero 5197.

Macedonum rex 4 Demetrius, Antigoni filius, Poliorcetes dictus, qui et Asiam tenuit, annis 6, mundi vero 5200.

Macedonum rex 5 Pyrrhus mensibus 7, mundi vero annus 5206.

Macedonum rex 6 Lysimachus annis 3, mundi vero 5207.

Macedonum rex 7 Ptolemaeus Lagi filius anno uno, mundi vero 5210.

Macedonum rex 8 Ptolemaeus Meleager, Ptolemaei Lagi frater, mensibus 2.

Ptolemaeo Lagi filio vivis sublato, Macedonicum imperium frater eius Meleager occupat, quem, ceu regno indignum, post menses duos, Macedones solio confestim deiiciunt, Antipatro Philippi filio et Cassandri pa-

C δρου, υἱὸν δὲ Φιλίππου, δι' ἀπορίαν γένους βασιλικοῦ. ὃν μετὰ πέντε ἡμέρας Σωσθένης δημοτικὸς ἐξήλασεν ὡς ἀδυνατοῦντα στρατηγεῖν, Βέρνου τοῦ Γαλάτου ἐπιόντος αὐτοῖς, ὃν Σωσθένης ἐκδιώξας κρατεῖ καὶ αὐτὸς ἔτη δύο τῶν Μακεδόνων. τούτου θανόντος ἀναρχία γέγονε. τῶν δὲ πραγμάτων προΐσταντο οἱ ἐξ Ἀντιπάτρου καὶ Πτολεμαίου καὶ Ἀριδαίου. τοῦ δὲ Ἀντιπάτρου ζῶντος καὶ τοῖς πράγμασιν ἐπιβουλεύοντος Ἀντίγονος υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ καὶ Κεφίλλας τῆς θυγατρὸς Ἀντιπάτρου μεταποιεῖται τῆς Μακεδόνων ἀρχῆς ἔτη μδ', ὃς ἐν Γόνασι τρα-
D φεὶς τῆς Θετταλίας Γονατᾶς ἐπεκλήθη. ἦν δὲ καὶ πρὸ τοῦ βασιλεῦσαι Μακεδόνων ἔτη ιβ' βασιλεύσας. οὗτος τῆς πάσης Ἑλλάδος ἐγκρατῶς ἐκυρίευσε ζήσας ἔτη πγ'.

V. 216 Μακεδόνων θ' ἐβασίλευσεν Ἀντίπατρος ἡμέρας με'.

Μακεδόνων ι' ἐβασίλευσε Σωσθένης ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσια'.

Μακεδόνων ια' ἀναρχίας ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσιγ'.

Μακεδόνων ιβ' ἐβασίλευσεν Ἀντίγονος ὁ Γονατᾶς ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσιε'.

P. 271 Μίλων παρέδωκε Ῥωμαίοις Τάραντον.

Κατὰ τούτους τοὺς χρόνους Πύρρος ὁ Ἠπειρώτης, ὁ καὶ Μακεδόνων βασιλεύσας, πολεμεῖ Ῥωμαίοις προτραπεὶς ὑπὸ

9. Γόνασι] Γόνοις supra p. 267 a. 16. ια' B. ια' ἐβασίλευσεν G. 17. Post μδ' AB inferunt Μήλων — Τάραντον. 19. Σποράδην praefixit G. μήλων AB. Vide Eusebium p. 351. Τάραντα Scaliger p. 65.

truele ob regii generis defectum in eius locum subrogato; eum ceu militiae ignarum et muneri imparem, solo dierum quinque spatio elapso, Sosthenes vir privatus regno pellit, Berno Galata utrique iam cum copiis imminente et Macedonum imperium tenet annis duobus. Eo defuncto actum interregnum. Rem autem publicam administrabant qui Antipatri, Ptolemaei et Aridaei factiones sequebantur. Porro superstite adhuc Antipatro et insidiis regnum appetente Antigonus Demetrio Poliorceta et Cephilla Antipatri filia natus Macedonum sceptrum assequitur annis 44, qui Gonis in Thessalia educatus, Gonatae nomen tulit. Caeterum ante obtentum in Macedones imperium iam annis duodecim regnarat, ac demum Graeciam universam sibi subiectam fecit, vixitque annis 83.

Macedonum rex 9 Antipater diebus 45.

Macedonum rex 10 Sosthenes annis 2, mundi vero 5211.

Macedonum principis 11 loco, interregni anni 2, mundi vero 5213.

Macedonum rex 12 Antigonus Gonatas annis 44, mundi vero 5215.

## Miscellanea.

Milo Romanis Tarentum tradit.

Sub hoc tempus Pyrrhus, Epirotarum princeps, qui Macedonum imperium etiam tenuit, Tarentinorum consiliis bellum Romanis infert, primo-



Ταραντίνων, καὶ κρατεῖ κατ' ἀρχὰς μὲν τοῦ πολέμου, πρὸς αὐτῇ σχεδὸν γεγονὼς τῇ Ῥώμῃ. τραπεὶς δὲ ὕστερον φεύγει στρατηγοῦντος Κορνηλίου Τεντάλου, τοῦ καὶ τὴν ὑπάτων ἔχοντος ἀρχήν. τὸ δὲ πλεῖστον ἀποβαλὼν τῆς δυνάμεως, οὕς τε εἶχεν ἐλέφαντας, οὐκ ἄλλοτε Ῥωμαίοις ὀφθέντας πρὸ τούτου, διαδιδράσκει διὰ τῆς θαλάσσης εἰς Ἤπειρον ἐλθών.

Πύρρος ὁ Ἠπειρώτης μετὰ τὴν πρὸς Ῥωμαίους μάχην καὶ B τὴν ἐκεῖθεν φυγὴν κατὰ Πελοποννησίων ἐπιστρατεύσας ἀναιρεῖται κεράμῳ πληγεὶς τὴν κεφαλὴν ὑπὸ γυναικὸς Ἀργολίδος ἀπὸ στέγους διὰ πυλίδος, εἰσβαλὼν τῇ πόλει καὶ βίᾳ τὸ Ἄργος ἑλεῖν.

Μακεδόνων ιγ' ἐβασίλευσε Δημήτριος υἱὸς Ἀντιγόνου ἔτη ι'. οὗτος Λιβύης πάσης καὶ Κυρήνης ἐκράτησε, τὴν πατρῴαν τε ἀρχὴν ἀνεκτήσατο. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσνθ'.

## Ἀλεξανδρέων βασιλεῖς.

Ἀλεξανδρείας καὶ Αἰγύπτου πρῶτος μετὰ τὸν Ἀλέξανδρον ἐβα- C
σίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εροα'.

Πτολεμαῖος ὁ Λάγου δόλῳ παραλαβὼν τὴν Ἱερουσαλὴμ καὶ ἀπάτῃ πολλοὺς ἐκ τῆς Ἰουδαίας μετῴκισεν εἰς Αἴγυπτον, οὓς μετ' αὐτὸν ὁ Φιλάδελφος Πτολεμαῖος ἠλευθέρωσεν.

1. ταραντινῶν AB. 2. γεγονὼς σχεδὸν G. 3. τεντάλου B. τερτέλλου A. Τερτούλλου G. Est P. Cornelius Dolabella. 12. οὗτος — ἀνεκτήσατο post ,εσνθ' collocavit G. 15. τὸν om. B. 19. Vulgo μετῴκησεν. 20. ὁ Πτολεμαῖος Φιλάδελφος G.

que conflictu superior visus, ad ipsam ferme Romam castra posuit; a Cornelio tamen Tertullo consule et exercitus duce fugatus est; et amissa copiarum parte plurima, elephantibusque nondum antehac Romae visis relictis mari fugiens repetit Epirum.

Pyrrhus Epirotarum rex post cladem a Romanis acceptam et eius e Romana terra fugae recessum, armis in Peloponnesios versis, mulieris Argivae manu tegula e tecti fenestella deiecta percussus caput, cum iam in mediam urbem Argos irrupisset et armorum vi teneret, vitam perdidit.

Macedonum rex 13 Demetrius, Antigoni filius, annis 10, mundi vero 5291.

Hic Libyae universae et Cyrene ipsi dominatus est et patrium imperium recuperavit.

## Alexandrinorum reges.

Alexandriae et Aegypti rex primus, ab Alexandri morte institutus est Ptolemaeus, Lagi filius, annis 40, mundi vero 5171.

Ptolemaeus Lagi captis dolo Hierosolymis Iudaeorum plurimos in Aegyptum transtulit, quos demum Ptolemaeus Philadelphus libertati restituit.

Ἀλεξανδρείας καὶ Αἰγύπτου β' ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλάδελφος ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσια'.

D Πτολεμαίου τοῦ Λάγου κεραυνῷ τεθνεῶτος, ὡς προλέλεκται, ἐν τῇ κατὰ τῶν Γαλατῶν μάχῃ, τὴν μὲν Αἰγύπτου ἀρχὴν κληροῦται μετ' αὐτὸν Πτολεμαῖος ὁ Φιλάδελφος παῖς αὐτοῦ, ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος, ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων, Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς τὴν Ἑλλάδα γλῶσσαν, μυριάδας βίβλων ι' ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις.

Οὗτος τὴν Φάρον Ἀλεξανδρείας μεγαλοπρεπῶς ἀνέστησε διὰ Σωστράτου Δεξιφάνους Κνιδίου, οὗ καὶ τὸ ὄνομα ἐπιγέγραπται ἐν τῷ ὑψηλοτάτῳ πύργῳ τῆς Φάρου οὕτως· Σωστράτος Δεξιφά-
P. 272 νους Κνίδιος σωτῆρσι θεοῖς ὑπὲρ τῶν πλωϊζομένων.

Ὁ αὐτὸς τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους μυριάδας δώδεκα ἐξωνησάμενος ταλάντοις υξ' ἐκ τοῦ στρατεύματος
V. 217 ἐλευθέρους ἀνῆκε πόθῳ τῆς μεταφράσεως τῶν παρ' αὐτοῖς θείων εἰς τὴν Ἑλλάδα γλῶσσαν, ὑπὲρ ὧν ἀναθήματα πολυτελῆ χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις ἐμμελῶς κατεσκευασμένα τῷ θεῷ ἐν Ἱεροσολύμοις ἐξέπεμψεν, Ἐλεαζάρῳ τε τῷ τηνικαῦτα ἀρχιερεῖ δῶρα πλεῖστα, καθὼς ἐν τοῖς Πτολεμαϊκοῖς γέγραπται, πρεσβευσάμενος σταλῆναι τὰς ἱερὰς δέλτους εἰς Ἀλεξάνδρειαν καὶ ἄνδρας

3. κεραυνῷ] τοῦ καὶ Κεραυνοῦ Scaliger p. 66. 8. ἀλλογλώττας G. 12. Vulgo Δεξιφανοῦς. 13. οὕτως B. οὗτος G. σωστρατοῦς δεξιφανοῦς B. Σωστράτους Δεξιφανοῦς G. Correxit Scaliger. 14. πλοϊζομένων B. 17. θείων γραφῶν m.

Alexandriae et Aegypti rex 2 Ptolemaeus Philadelphus annis 38, mundi vero 5211.

Ptolemaeo Lagi filio fulminis ictu mortem obeunte, ea quam cum Galatis habuit pugna, prout narratum est, Aegypti imperium Ptolemaeus eius filius, vir omni scientiarum cultu ornatus et laboris patientissimus adiit, qui Graecorum omnium, Chaldaeorum, Aegyptiorum et Romanorum collectis libris et ex aliena dialecto in Graecam versis, myriades decem bibliothecis Alexandriae a se constructis custodiendas reposuit.

Idem Sostrati Cnidii Dexiphanis filii ope in Alexandriae portu sumptibus immensis Pharum erexit, excelsissima Phari turrium artificis nomen praeferente in hunc modum. Sostratus Cnidius Dexiphanis filius diis servatoribus navigantium gratia consecravit.

Iudaeorum duodecim myriadibus ab exercitu captis talentorum 460 pretio redemptis, scripturarum, quas servabant, versionis Graecae cupidus libertatem restituit. Earum comparandarum gratia donorum auro lapillisque ornatorum variam ac pretiosam supellectilem deo Hierosolymis vovit et appendit. Eleazarum eo tempore pontificem, Ptolemaei ipsius historia teste, sibi conciliavit; legatisque missis, codices sacros, sacerdotesque litteratos et tum scripturarum tum Graecanicae eruditionis guaros Alexan-



ἱεροὺς ἀκριβῶς ἐπιστήμονάς τε αὐτῶν καὶ τῆς Ἑλλήνων ἐμπεί- B ρους παιδεύσεως, ὡς ἂν ἀσφαλῶς ἐκ τῆς Ἑβραίων φωνῆς ἑρμηνευθεῖεν αὐτῷ. τοῦτο δ' ἦν, οἶμαι, θείας ἔργον ῥοπῆς πόρρωθεν φιλούσης τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις προκαταλαβέσθαι καὶ τοῖς ἔθνεσι πρὸ τῆς θείας σαρκώσεως ὁδοποιούσης τὴν θεόφραστον παίδευσιν. ἑβδομήκοντα γὰρ ἄνδρας ἱεροὺς καὶ σοφοὺς κατ' ἄμφω τὰς γλώσσας ὁ αὐτὸς σοφώτατος βασιλεὺς ἐξ Ἱερουσαλὴμ σὺν ταῖς ἱεραῖς βίβλοις ἐχρυσογραφημέναις ἀποδεξάμενος καὶ τὴν αὐτῶν ἑτοιμότητα πρὸς πᾶσαν φυσικὴν καὶ μαθηματικὴν πεῦσιν ἐκπλαγείς, δώροις πρέπουσι φιλοθέῳ βασι- C λεῖ καὶ λόγοις ἠπίοις ἐξελιπάρησε πάσῃ σπουδῇ ταύτης ἀφθόνως ἑρμηνευθῆναι, χωρίον εὐκραέστατον αὐτοῖς ἀφορίσας τὴν Φάρον. οἱ δὲ θεοφιλεῖς ὄντες καὶ ταῖς ψυχαῖς ἡνωμένοι κατὰ συζυγίας διαιρεθέντες ἐν ἑβδομήκοντα δύο ταῖς ὅλαις ἡμέραις ὁμοφώνως ἐπιπνοίᾳ θεοῦ τὴν ὅλην Ἑβραίων φωνὴν μετέφρασαν. ἧς ἐπαναγνωσθείσης Πτολεμαίῳ τῷ Φιλαδέλφῳ καὶ τοῖς περὶ αὐτὸν σοφοῖς Δημητρίῳ τῷ Φαληρεῖ παρ' Ἕλλησιν ἀνδρὶ σπουδαίῳ καὶ πολυμαθεῖ, Μενεδήμῳ τε φιλοσόφῳ καὶ ἑτέροις ἀνθοῦσι τῷ τηνικαῦτα, ὡμολογήθη μόνη θεόπνευστος εἶναι παρὰ πᾶσαν D γραφὴν ἐγνωσμένην αὐτοῖς. ἐπὶ τούτοις ἑορτάσας ὁ βασιλεὺς πλείστοις τε δώροις ἄλλοις φιλοτιμησάμενος αὐτοὺς καὶ τῷ ἀρ-

1. ἀκριβῶς B. ἀκριβεῖς G. τῆς] τῶν G. 2. ἑρμηνευθῇ ἐν αὐτῷ B. 8. κεχρυσογραφημέναις G. 11. ἠπείοις B. ταύτης] ταύτην G. 12. ἀφορήσας B. 14. αἱρεθέντες G. 21. αὐτοὺς B. αὐτοῖς G.

driam mitti et eorum opera ex Hebraea dictione in Graecam scripturas reddi precatus est. Divini reor impulsus et caelestis providentiae rerum magnarum argumenta materiemque disponentis, et ante divinae incarnationis momentum gentilium animos ad uberiorem et amplam dei notitiam manuducentis fuit hoc opus. Sacros enim viros Septuaginta, utriusque linguae apprime peritos ex Hierusalem sacra volumina characteribus aureis exarata ferentes rex ipse eruditissimus excepit, et, qua de physicis et mathematicis quaestionibus prompte tractabant doctrinam miratus, blando colloquio, donisque religioso principe dignis delinitos, loco et aëre temperato ad Pharum locari iussos scripturis interpretandis animum sincere admovere sollicitus rogabat. Illi ceu pietate in deum eximii, et ad invicem animis devincti, bini ac bini separatim diebus duobus et septuaginta deo voces singulas inspirante, textum Hebraicum totum interpretati sunt; quo deinde a Ptolemaeo Philadelpho et eruditis penes eum viris et a Demetrio Phalereo viro apud Graecos litteris dedito et iisdem copiose ornato et a Menedemo philosopho aliisque scientiarum cultu florentibus perlecto, solus ipse deo dictante exaratus et cuilibet alteri illuc usque habitae rerum notitiae praeferendus a cunctis iudicatus est. Festivis ideo sacris institutis, interpretes muneribus plurimis donatos Ptolemaeus remisit; aliisque simul

χιερεῖ καὶ τῷ ἱερῷ ἐξέπεμψεν, εὐχαριστῶν τῷ τῶν ὅλων θεῷ. τὰ κατὰ τὴν διάλιθον τράπεζαν τὴν σταλεῖσαν εἰς Ἱερουσαλὴμ καὶ τὸ φιλότιμον ἅμα καὶ φιλόσοφον Πτολεμαίου Ἰώσηππος ἱστορεῖ καταπλήκτῳ ἤχῳ, ὅπως τε Θεόπομπος φιλόσοφος παρεφρόνησε τολμήσας ἱστορῆσαι περὶ αὐτῶν, καὶ Θεόδεκτος στρατηγικὸς ἐτυφλώθη δρᾶμα ποιήσας, ἄμφω τε μεταγνόντες ἰάθησαν, Ἀρι- P. 273 σταίου ἑνὸς τῶν φίλων αἰτήσαντος Πτολεμαίου ιβʹ μυριάδες Ἰουδαίων ἐξωνήσεσι βασιλικοῖς χρήμασι παρὰ τοῦ στρατεύματος εἰς τὴν Ἰουδαίαν ἐξαπεστάλησαν, ρκʹ δραχμῶν ὑπὲρ ἑκάστου δοθεισῶν, ὡς εἶναι τὰ ὑπὲρ αὐτῶν λύτρα τάλαντα υξʹ. Ἀρισταῖον καὶ Ἀνδρέαν δύο πρωτίστους ἀρχόντων ὁ Φιλάδελφος ἐξέπεμψε Πτολεμαῖος εἰς Ἱερουσαλὴμ πρὸς Ἐλεάζαρον μετὰ σκευῶν χρυσῶν καὶ διαλίθων πολλῶν καὶ ἀργυρῶν ταλάντων ρʹ καὶ ἄλλων δώρων, αἰτῶν σταλῆναι αὐτῷ τὰς θείας γραφὰς καὶ ἄνδρας σοφοὺς ἑρμηνεύσοντας αὐτήν, ὡς Ἰώσηππος. Πτολεμαῖος οὗτος ὁ Φιλάδελφος πᾶσαν πανταχόθεν, ὡς εἰπεῖν, συμφορήσας βίβλον τῆς B οἰκουμένης, σπουδῇ τοῦ Φαληρέως Δημητρίου τρίτου νομοθέτου Ἀθηναίων, ἀνδρὸς παρ' Ἕλλησι σπουδαίου, ἐν οἷς καὶ τὴν Ἑβραίων γραφήν, ὡς προτέτακται, τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην καθίστησιν ρλβʹ ὀλυμπιάδι, ἧς πληρουμένης τελευτᾷ. δέκα δὲ μυριάδες βίβλων ἦσαν, ὥς τινές φασιν.

5. αὐτῶν] αὐτὸν B. στρατηγικὸς B. στρατηγὸς G. 7. τῶν φίλων om. G. 9. ἰουδαίαν B. Ἰουδαίων G. 10. Ἀρισταῖον] ἀριστέον AB. Ἀριστέαν G. 13. καὶ ἄλλων δώρων om. G. 15. ὡς B. ὡσὰν G. 16. βίβλον] βίβλους G. 18. ἀθηναίων B. Ἀθηναίου G. καὶ om. G. 19. τὴν B. καὶ G. 20. ρλβʹ] ρλαʹ m. μυριάδες βίβλων m. μυριάδας βίβλους G. βίβλων etiam ex AB enotatum. 21. ἦσαν] εἶσαν B.

pontificem et templum universorum deo gratias acturus prosequutus est. Mensam certe lapillis pretiosis conspicuam ab eo in Hierusalem missam et liberale vereque philosophicum eius studium claro dicendi genere Iosephus celebravit; utque insuper Theopompus philosophus huiusmodi rebus historiae suae insertis dementia laboraverit et Theodectus dux dramate de illis vesane edito caecitate perculsus est, et ambo pariter audaciae poenitentes curati sunt, auctor idem enarrat. Uno Aristea rogante Iudaeorum myriades 12 ab exercitu eos sibi mancipante, drachmis in capita singula 120 pensis pretiis summa ad talenta 460 adscendente redemptae et in Iudaeam postliminio amandatae. Sane Aristeam et Andream procerum praecipuos a Ptolemaeo Philadelpho cum vasis aureis et gemmarum ornatu pretiosis, nec non argenti talentis centum sacras scripturas sibi donari et viros sapientes earum interpretes una exhiberi rogatum missos Iosephus memorat. Ptolemaeus iste Philadelphus variis undequaque terrarum, ita dicam, comportatis libris, ad quos divinam, ut praemisimus, scripturam adiunxit, Demetrii Phalerei legislatoris apud Athenienses tertii viri Graecarum litterarum studiosissimi cura bibliothecam Alexandriae instaurat Olympiade 131, qua exeunte decessit pariter e vita. Librorum, ut aiunt, myriades decem in eam congestae



Ἀλεξανδρείας καὶ Αἰγύπτου τρίτος ἐβασίλευσε Πτολεμαῖος ὁ V. 218
Εὐεργέτης ἔτη κδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσμθʹ. C

## Ἀσίας βασιλεῖς.

Ἀσίας πρῶτος μετὰ Ἀλέξανδρον Ἀντίγονος ἐβασίλευσεν ἔτη ιηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερναʹ.

Ἡ τῶν Μακκαβαίων ἱστορικὴ γραφὴ τοὺς Ἑλλήνων βασιλεῖς ἀπὸ Ἀντιγόνου ἀριθμεῖ, ἣν Ἰώσηππος ἔγραψεν, ἥτις τῶν μὲν θεοπνεύστων οὐκ ἔστι, χρησίμη δὲ πάνυ πέφυκεν.

Ἀντίγονος Ἀντιγονίαν τὴν πρὸς τῷ Ὀρόντῃ ποταμῷ ἔκτισεν, ἣν Σέλευκος ἐπικτίσας Ἀντιόχειαν ὠνόμασεν.

Ἀσίας μόνης βʹ Δημήτριος ὁ Πολιορκητής, Ἀντιγόνου παῖς, ἔτη ιʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερπθʹ.

Δημήτριον τὸν Πολιορκητὴν ὁ Σέλευκος λαβὼν ἐν Κιλικίᾳ D βασιλικῶς τηρεῖσθαι προσέταξεν ἕως θανάτου ὑπὸ χεῖρα τὴν τῆς Ἀσίας ἀρχὴν κτησάμενος. ἐκβαλὼν δὲ καὶ Λυσίμαχον τῆς Μακεδόνων ἀρχῆς, ἀναιρεῖται τάχιστα ὑπὸ τοῦ Λάγου Πτολεμαίου τοῦ καὶ Κεραυνοῦ. καὶ κρατεῖ Μακεδόνων ὁ αὐτὸς Πτολεμαῖος ἔτος ἓν μῆνας πέντε, καὶ ἀναιρεῖται κατὰ τὸν Γαλατικὸν πόλεμον.

Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησεν.

Ἡ τῆς Ἀσίας βασιλεία κηʹ ἔτη διαρκέσασα ὑπὸ Σέλευκον γέγονε.

9. ὀρέντῃ AB. Orontem Eusebius p. 348. 11. μόνης om. G. 15. τὸν Λυσίμαχον G. 17. ὁ] καὶ G. 19. Σαμαρέων] Σαμάρειαν G. Conf. p. 275 b. Samariam urbem Eusebius p. 348. 20. κηʹ] λεʹ m.

Alexandriae et Aegypti rex 3 Ptolemaeus Euergetes annis 24, mundi vero 5249.

## Asiae reges.

Asiae rex primus post Alexandrum Antigonus annis 18, mundi vero 5171.

Historicus de Maccabaeis liber ab Iosepho conscriptus Graecorum reges ab Antiocho numerare exorditur; idem divinarum scripturarum catalogo licet non accenseatur, admodum tamen utilis iudicatur.

Antigonus ad Orontem fluvium Antigoniam urbem condidit, quam sedibus absolutam Antiochiam appellavit Seleucus.

Asiae rex 2 Demetrius Poliorcetes, Antigoni filius, annis 10, mundi vero 5189.

Demetrio Poliorceti in Cilicia capto et exinde ad mortem detento regios honores Seleucus deferri iussit; quare totum Asiae imperium suae subiicit potestati. Erepto quoque regi Lysimacho Macedonum regno, haud diu post a Ptolemaeo, Lagi filio, cui cognomen Ceraunus, misere interficitur. Ptolemaeus iste inito cum Galatis certamine anni unius et mensium quinque mora interposita, occiditur.

Demetrius Poliorcetes urbem Samariam devastavit.

Asiae regnum annis 35 stans in Seleuci potestatem venit.

P. 274 **Συρίας καὶ Βαβυλωνίας βασιλεῖς.**

Συρίας καὶ Βαβυλωνίας καὶ τῶν ἄνω τόπων πρῶτος Σέλευκος Νικάνωρ ἐβασίλευσεν ἔτη λγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εροαʹ.

Ἐδεσσηνοὶ τοὺς χρόνους ἔνθεν ἀριθμοῦσι.

Σέλευκος Ἀντιόχειαν τὴν πρὶν Ἀντιγονίαν ἐπέκτισεν ιβʹ ἔτει τῆς βασιλείας αὐτοῦ.

Ὁ αὐτὸς Λαοδίκειαν, Σελεύκειαν, Ἀπάμειαν, Ἔδεσσαν, Βέροιαν, Πέλλαν.

Σέλευκος Βαβυλῶνα παρεστήσατο.

Σέλευκος ἐν ταῖς νέαις πόλεσιν Ἰουδαίους συνῴκισεν Ἕλλησι.

B Ῥωξάνην σὺν Ἀλεξάνδρῳ παιδὶ πεμφθεῖσαν εἰς Ἀμφίπολιν Σέλευκος Νικάνωρ ἀφανίζει, Κασάνδρου κελεύσαντος, ὥς φασι.

Τότε Κάλλιππος Κυζικηνὸς ἀστρολόγος ἐγνωρίζετο καὶ Διονύσιος ὁ τὰς πόλεις γράψας.

Ἐρασίστρατος διαφανὴς ἰατρὸς ἐπὶ Σελεύκου ἐγνωρίζετο, ὃς διαγνοὺς Ἀντίοχον τὸν Σελεύκου παῖδα δεινῶς νοσοῦντα δι' ἔρωτα τὸν πρὸς τὴν Σελεύκου τοῦ πατρὸς γαμετὴν θυγατέρα Δημητρίου ἐθαυμαστώθη. ὅθεν καὶ Σέλευκος τῷ πάθει περιαλγήσας παραχωρεῖ τῷ παιδὶ Ἀντιόχῳ τῆς γαμετῆς.

2. πρῶτος post Βαβυλωνίας transfert B. 4—5. Ἐδεσσηνοὶ—τὴν πρὶν om. G. 4. Ἐδεσσηνοὶ] αἰδεσινοὶ A. αἰδεσινοὶ B. 7. ἔδεσαν AB. 8. Βέῤῥοιαν G. 10. Vulgo συνῴκησεν. Hoc vitium hic et alibi correxit Scaliger. 13. νικάνορα A. νικάνωρα B. 14. κάλλιπος A. κάλιππος B. ἀστρολόγως B. 16. Σελεύκου] σέλευκον A.

## Syriae et Babyloniae reges.

Asiae, Babyloniae et locorum ea superiorum rex primus Seleucus Nicanor annis 33, mundi vero 5171.

Anno regni 12 Antiochiam urbem absolvit.

Idem Laodiceam, Apameam, Edessam, Berrhoeam et Pellam perfecit.

Seleucus deditione Babylonem accepit.

In novis urbibus Iudaeos cum Graecis cohabitare permisit.

Roxanem cum Alexandro puero Amphipolin missam Seleucus Nicanor, Cassandri iussu, ex historicorum vulgo, e medio sustulit.

Eius tempore Calippus Cyzicenus astrologus et Dionysius, qui de urbibus tractatum suscepit, florebat.

Erasistratus quoque medicus eximius Seleuci tempore celebrabatur; qui cognito Antiochi Seleuci filii erga patris coniugem Demetrii filiam ex amore morbo, laudem eximiam consequutus est. Seleucus filii langori compatiens coniugis ei cessit amplexibus.



Ἀσίας, Συρίας, Βαβυλωνίας βʹ ἐβασίλευσεν Ἀντίοχος ὁ Σωτὴρ ἔτη ιθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσδʹ.

Οὗτος ὁ Ἀντίοχος Σωτὴρ λεγόμενος ἔσχεν ἐκ τῆς θυγατρὸς V. 219 Δημητρίου, γαμετῆς δὲ Σελεύκου τοῦ πατρὸς αὐτοῦ Στρατονίκης C ἄρρενα υἱὸν Ἀντίοχον, τὸν ἐπικληθέντα Θεόν, ὃς καὶ ἐβασίλευσε μετ' αὐτὸν Συρίας καὶ Ἀσίας ἔτη ιεʹ. καὶ ἐτελεύτησεν ἐν Ἐφέσῳ.

Συρίας καὶ Ἀσίας γʹ ἐβασίλευσεν Ἀντίοχος ὁ ἐπικληθεὶς Θεὸς ἔτη ιεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσκγʹ.

**Σποράδην.**

Ἀστυάναξ Μιλήσιος παγκράτιον νικᾷ τὸ τρίτον. οὗτος δὲ καὶ D ἓξ ἀνδρῶν σιτία κατήσθιε.

Δημήτριος ὁ Φαληρεὺς ἐγνωρίζετο τρίτος νομοθέτης Ἀθήνησιν. οὗτος Ἀθηναίοις ἀποδοὺς τὴν δημοκρατίαν ἦλθεν εἰς Αἴγυπτον.

Μενέδημος καὶ Σπεύσιππος φιλόσοφοι ἐγνωρίζοντο.

Ῥωμαῖοι Κελτοὺς καὶ Τυρρηνοὺς ἐνίκησαν καὶ τὴν Σαβίνων γῆν ἐκληρώσαντο.

Οἱ Μακεδόνων ἡγεμόνες ἐστασίασαν.

Περδίκκας εἰς Αἴγυπτον ἐστράτευσε.

Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον.

3. ὁ ἀντίοχος B. Ἀντίοχος ὁ G. 5. ἄρρενα B. ἄρσενα G. 11. ἓξ om. B. σιτία] σιτεία B. 13. δημοκρατείαν B. 15. Μενέδημος] Menander vitiose Eusebius p. 348. 16. Τυρρηνοὺς Scaliger p. 66. Vulgo τυράννους. Sabinos Eusebius p. 349. σαβινῶν B. 20. πολυπέρχης AB. Πολυσπέρχης G. Conf. ad p. 270 a. ἀρίδαιον B.

Asiae, Syriae et Babyloniae rex 2 Antiochus Soter annis 19, mundi vero 5204.

Antiochus iste Servator dictus, Stratonice Demetrii filia, Seleuci vero patris proprii coniuge filium Antiochum Deum agnominatum suscepit, qui regnum Syriae et Asiae, patre mortuo, tenuit annis 15 et Ephesi diem extremum obiit.

Syriae et Asiae rex 3 Antiochus, cognomento Deus, annis 15, mundi vero 5223.

## Miscellanea.

Astyanax Milesius tertium Pancratio victor. Cibos qui viris sex sufficerent solus devorabat.

Demetrius Phalereus Atheniensium legislator tertius agnoscebatur. Populi restaurata potestate secessit in Aegyptum.

Menedemus et Speusippus philosophi celebres.

Romani Celtas et tyrannos profligant et Sabinorum agros possident.

Macedonum duces tumultuantur.

Perdiccas in Aegyptios bellum movet.

Polysperches Antipatri filius Aridaeum occidit.

Λυσιμαχία ἐν Θρᾴκῃ ἐκτίσθη.

P. 275 Ἀγαθοκλῆς ἐν Συρακούσαις ἐτυράννησε.

Ῥωμαῖοι Μάρσους καὶ Ἴμβρους καὶ Παλλινοὺς παρεστήσαντο.

Ῥωμαῖοι ἀποικίας ἔπεμψαν.

Κύπρου Πτολεμαῖος ἐκράτησεν.

Ὁ Λαμιακὸς πόλεμος ἐκινήθη.

Ἀναξιμένης καὶ Ἐπίκουρος ἐγνωρίζετο.

Ἐν Ῥώμῃ παρθένος τις φθαρεῖσα ἀνῃρέθη.

Θεόδωρος ἄθεος ἐγνωρίζετο.

Ῥωμαῖοι Σαυνιτῶν Ἀράβων τελείως ἐκράτησαν.

Μένανδρος ὁ κωμικὸς ποιητὴς πρῶτον δρᾶμα διδάξας Ὀργὴν ἐνίκα.

B Θεόφραστος φιλόσοφος ἐγνωρίζετο.

Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησε.

Μένανδρος ὁ κωμικὸς ἐτελεύτησεν.

Ὁ Σάραπις ἢ ὁ Σόραπις ἢ ὁ Σείραπις κατά τινας ἐν Ἀλεξανδρείᾳ ἱδρύνθη.

Μία τῶν ἐν Ῥώμῃ παρθένων ἀνῃρέθη φθαρεῖσα.

2. συρρακοῦσαις A. 3. Ἴμβρους] Οὔμβρους m. *Imbros* Eusebius p. 348. παλλινοὺς AB. Παλληνοὺς G. Πελίγνους m. *Palinos* Eusebius. 9. τις om. G. 11. Σαυριτῶν G. 12. Μένανδρος] Mirabiliter haec pervertit Armenius Eusebii interpres p. 347. 15. τὴν πόλιν Σαμαρέων] Σαμαρέων πόλιν G. Conf. p. 273 d. 17. Σάραπις] σάραπης B. ὁ Σόραπις Scaliger. p. 67. ὡσσάραπης B. Ὠσσάραπις G. ὁ σειραπὶς A. ὡσειραπὴς B. ὁ Σίραπις G. *Sarapis — qui et Sorapis itemque Sirapis* Eusebius p. 351.

Lysimachia condita in Thracia.
Agathocles tyrannidem exercet Syracusis.
Marsos, Umbros et Pelignos deditione ceperunt Romani.
Romani colonias deducunt.
Ptolemaeus Cypro potitur.
Bellum Lamiacum motum.
Anaximenes et Epicurus vigebant.
Vestalis corrupta Romae morte plectitur.
Theodorus Atheus vivebat.
Samnitum praedonum Romani ex integro superiores effecti.
Menander comicus primo dramate Ira publicato palmam refert.
Theophrastus philosophus celebrabatur.
Demetrius Poliorcetes Samariam urbem depopulatur.
Menander comicus moritur.
Sarapis, qui Sorapis et Serapis, ex nonnullorum sensu Alexandriae collocatur.
Vestalium una Romae corrupta capitis damnatur.



Ῥωμαῖοι Κρότον ἔλαβον.

Ἐν Ῥώμῃ πρῶτον ἀργυροῦν ἐκόπη νόμισμα.

Ῥωμαῖοι Καλαβρίαν ἔλαβον καὶ ὑπέταξαν καὶ Μεσσήνην. C

Ἄρατος ποιητὴς ἐγνωρίζετο, ὃς ἔγραψε τὰ Φαινόμενα.

Οἱ βασιλεῖς Ποντίων δέκα κατὰ τούτους ἦρξαν τοὺς χρόνους διαρκέσαντες ἔτη σιη΄. περὶ ὧν Ἀπολλόδωρος καὶ Διονύσιος ἱστοροῦσι.

Καππαδοκῶν βασιλεῖς ζ΄ χρόνους ρξ΄ διαρκέσαντες κατὰ τούτους ἤρξαντο τοὺς χρόνους, ὡς Διόδωρος γράφει.

Καρχηδόνιοι Ῥωμαίων ϛ΄ ναῦς ἔλαβον ἐν Σικελίᾳ, τρέψαντες καὶ τὸν ὕπατον Μέτελλον.

Ῥωμαῖοι ἀποικίας ἐστείλαντο.

Ἐν Ῥώμῃ παρθένος καταγνωσθεῖσα τοῦ ἱεροῦ τῆς Ἑστίας ἑαυτὴν ἀνεῖλε.

Νικομήδειαν ἐπ᾽ ὀνόματι αὐτοῦ ἔκτισε Νικομήδης βασιλεὺς Βιθυνῶν. D

Ῥωμαῖοι Καρχηδονίους ναυμαχίᾳ νικήσαντες ἑκατὸν πόλεις τῆς Λιβύης ἔλαβον.

Κατὰ τούτους τοὺς χρόνους Ἱέρων τύραννος Σικελίας κρατεῖ Συρακουσῶν καὶ κατὰ Ῥωμαίων Καρχηδονίοις συμμαχεῖ, ἡνίκα πρῶτος πόλεμος Ῥωμαίοις πρὸς Καρχηδονίους κινηθεὶς ἔτη κρα-

1. Κρότον] Κρότωνα Scaliger. *Crotum* Eusebius p. 350. 2. ἄργυρον A. ἀργυρὸν B. 3. ἔλαβον καὶ om. B. *Romani Calabria potiti sunt Messanamque ceperunt* Eusebius p. 351. μεσσίνην B. Vulgo Μεσήνην. 6. ἀπόλλωρος B. 8. καππαδοκῶν B. Καππαδόκων G. 11. μέτελον B. 20. συρρακουσῶν A. Ῥωμαίων] Ῥωμαίους G. 21. κινηθεὶς B. θεὶς G.

Romani Crotonem capiunt.
Nummus argenteus Romae primum cusus.
Romani Calabriam invadunt et Messanam.
Aratus poeta Phaenomenorum scriptor laudabatur.
Ponti reges decem annis 218 regnantes imperii principium hoc tempore posuerunt; de quibus Apollodorus et Dionysius scribunt.
Cappadocum reges septem annis 160 durantes, hac aetate prima regni fundamenta, teste Diodoro, dederunt.
Carthaginenses navibus Romanorum nonaginta captis, Metellum consulem in fugam vertunt.
Romani colonias mittunt.
Virgo Vestalis Romae damnata vitam sibi praeripit.
Nicomedes Bithyniae rex Nicomediam suo nomine condit.
Carthaginensibus mari superatis Libyae civitates centum Romani capiunt.
Temporibus istis Hiero Siciliae tyrannus Syracusas invadit et primo bello, quod Romanos inter et Carthaginenses per annos viginti tres continuatum est, armis Carthaginenses iuvit; bello secundo Valerius cum Apio

V. 220 τεῖ κγ'. δεύτερος μετὰ Ἀπίωνα Οὐαλέριος ὑπατεύων πάσης ἐξελάσας Σικελίας Καρχηδονίους, τάς τε ἐν αὐτῇ πόλεις ὑπὸ Ῥωμαίους ποιεῖται, πλὴν Συρακουσῶν πόλεως, ἣν εἶχεν Ἱέρων σὺν τοῖς Ἄφροις δεύτερον ἡττηθείς. τότε καὶ Λιβύης ρ' πόλεις εἷλον Ῥωμαῖοι· Ῥωμαῖοι Καρχηδονίους ἐνίκησαν, ἡνίκα καὶ Τοῦλλος
P. 276 ὕπατος μετὰ πόλεμον κγ' ἐνιαυτῶν κρατεῖ Καρχηδονίων καὶ ὑπὸ Ῥωμαίους αὐτοὺς καὶ τὴν χώραν ποιεῖ, λαβὼν καὶ Συρακούσας καὶ Ἱέρωνα τύραννον ἐκδόντα ἑαυτὸν, κατὰ τὴν ρκη' ὀλυμπιάδα ἐπὶ Φιλαδέλφου τοῦ Πτολεμαίου, ἐφ' ὃν στρατηγὸς Ἄππιος Κλαύδιος ὑπατεύων πεμφθεὶς πολλὴν Σικελοῖς καὶ Καρχηδονίοις εἰργάσατο φθοράν.

Ἀθηναίοις Ἀντίγονος τὴν ἐλευθερίαν ἀπέδωκεν.

Ἐν Ῥώμῃ ἱερὸν ἐνεπρήσθη τῆς Ἑστίας.

Ἐν Ῥώμῃ ὑπὸ δούλου διακορευθεῖσα παρθένος ἑαυτὴν διεχειρίσατο.

B Ῥωμαῖοι Γάλλων μυριάδας δ' πρὸς τοῖς τριακοσίοις ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους αὐτῶν κατεδουλώσαντο, Γαλιαρίους καλοῦντες αὐτούς.

Ἐν Ῥώμῃ παρθένοι ἁλοῦσαι φθορᾷ ζῶσαι κατωρύγησαν.

Σκιπίων Ἀφρικανὸς Κελτιβηρίας πολέμῳ πόλεις πολλὰς Ῥωμαίοις ὑπηγάγετο.

Τούτου υἱοὶ δύο ὁ Φιλοπάτωρ καὶ ὁ Εὐεργέτης.

1. οὐαλέριος B. Οὐαλλέριος G. 3. συρρακουσῶν πόλεων A. 6. ἐνιαυτῶν] ἐνιαυτὸν AB. κρατεῖ om. B. καρχηδονίων B. Καρχηδονίους G. 7. Ῥωμαίους] Ῥωμαίων G. συρρακούσας A. 9. τοῦ om. G. Vulgo Ἄπιος. 10. ἠργάσατο B. 13. Ἑστίας] α' ἱστίας A. ἀεστίας B. 14. διεχειρήσατο B. 20. Vulgo Σκηπίων. 22. Τούτου] Antiochum dicit, de quo supra p. 274 c.

collega Carthaginenses Sicilia pellit; urbesque cunctas demptis Syracusis ab Hierone secundum victo et Africanis adhuc occupatas populo Romano subiicit Eo tempore urbes Libyae 100 capiunt Romani, Carthaginensium copias fundunt; tum Metellus post annum 23 consul declaratus Carthaginenses superat, regionem universam, Syracusas et Hieronem ipsum ad deditionem compellit circa Olympiadem 128, Philadelpho regnante; sub quo Appius Claudius consul renunciatus Carthaginensibus et Siculis cladem magnam intulit.

Antigonus libertatem Atheniensibus restituit.

Romae templum Vestae incendio absumptum.

Romae virgo a servo violata sibi ipsi necem infert.

Gallorum myriadas quatuor et trecentos Romani caedunt et bello captos sibi servos efficiunt et Galliarios vocant.

Romanae Vestales in stupro deprehensae in terram vivae defodiuntur.

Scipio Africanus urbes Celtiberiae plurimas Romanis reddidit subiectas.

Antiochi filii duo Philopator et Euergetes.



Ζήνωνα Στωϊκὸν θανόντα Κλεάνθης μαθητὴς διεδέξατο.

Ἐπίκουρος αὐτοματίτης θνήσκει.

Πολέμων θνήσκει ὁ φιλόσοφος, μεθ' ὃν Ἀλκέτας καὶ Κράτης γνωρίζονται.

Τιμήσεως ἐν Ῥώμῃ γενομένης εὑρέθησαν μυριάδες κς'. C

Καρία καὶ Ῥόδος ἐσείσθησαν, ὡς καὶ τὸν μέγαν κολοσσὸν καταπεσεῖν.

Ῥωμαῖοι διαφόρους παροικίας ἐξέπεμψαν.

Οἱ Βιθυνῶν βασιλεῖς η' κατὰ Διονύσιον ἔνθεν ἤρξαντο, διαρκέσαντες ἔτη σιγ'.

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰουδαίων ιβ' ἀρχιεράτευσε Σίμων υἱὸς Ὀνείου ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσπβ'.

Ἰουδαίων ιγ' ἀρχιεράτευσεν Ἰησοῦς ὁ τοῦ Σιρὰχ, ὁ τὴν σοφίαν γράψας τὴν καλουμένην Πανάρετον, ἐν ᾗ μέμνηται καὶ D
Ὀνείου τοῦ πρὸ αὐτοῦ, ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετη'.

### Κατὰ Ἀφρικανόν.

Ἀπὸ τῶν Ἀλεξάνδρου τοῦ κτίστου χρόνων ὑποδύντες Ἰου-

1. θανόντα Scaliger p. 67. Vulgo θανέντα. 2. αὐτοματίτης Scaliger. αὐτομάτης τίς B. αὐτοματὶ τίς G. αὐτοματιστὴς m. 3. Ἀλκέτας Scaliger. ἀλκετᾶς B. ἀλκετᾶς A. Ἀλκετοῖς G. Ἀρκεσιλᾶς m. Arcelaus Eusebius p. 351. Ἀρκεσίλας in Notis Scaliger p. 421. Κράτης] Coton Eusebius. 8. παροικίας ἐξέπεμψαν (ἐξέπεμψεν A.) in AB post βασιλεῖς η' traiecta in locum suum reposuit Scaliger. Conf. Eusebium p. 354. 9. Διονύσιον] Vulgo Διόνυσον. Correxit Goarus. 12 et 16. ὀνείου B constanter. Ονίου G ubique. 15. Πανάρετον] Eusebii interpretem Armenium πάντεχνον legisse videri ab Maio annotatum est p. 353. 18. τῶν] τοῦ G.

Zenonem Stoicum vita functum Cleanthes discipulus excipit.

Epicurus mortem spontaneam obit.

Polemo philosophus moritur, post quem Arcesilaus et Crates celebrantur.

Censu populi Rom. habito civium myriades 26 repertae sunt.

Caria et Rhodus terrae motu concussae, quo immanis Colossus in terram actus.

Romani varias colonias deducunt.

Bithyniae reges octo regni exordium, teste Dionysio, circa haec tempora sortiuntur, annisque 213 perseverant.

## ANNI MUNDI.

Iudaeorum pontifex 12 Simon, filius Oniae, annis 20, mundi vero 5282.

Iudaeorum pontifex 13 Iesus filius Sirach, libri Sapientiae Panareti virtutum praeceptis locupletis auctor, quo et Oniae decessoris memoriam habet, annis 6, mundi vero 5308.

Ab Alexandri conditoris aetate Iudaei Macedonum imperio subiecti,

δαῖοι τῇ Μακεδόνων ἀρχῇ ποτὲ μὲν Πτολεμαίοις, ποτὲ δὲ τοῖς Ἀντιόχοις ἐτέλουν ὑπόφοροι, ἕως Ὀνείου τοῦ ἀρχιερέως ἀντὶ βασιλέων ὑπὸ τῶν ἀρχιερέων διεπόμενοι τὰ πολλὰ μετ' εἰρήνης. ἐπὶ δὲ τοῦ ιδ' Ὀνείου τοῦδε Σίμων τις προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ προσφεύγει Ἀπολλωνίῳ στρατηγῷ Φοινίκης τὴν ἀρχιερωσύνην ἑαυτῷ περιποιούμενος καὶ τὰ τοῦ ἱεροῦ χρήματα προδίδειν ὑπισχνούμενος, ἅτινα μαθὼν ὁ Σέλευκος διὰ τοῦ Ἀπολλωνίου πέμπει Ἡλιόδωρον τὸν ἐπὶ τῶν πραγμάτων, ὃς θείαις
P. 277 μάστιξι παιδευθεὶς κενὸς ἐπανῆλθεν· Ὀνείας δὲ ὁ ἀρχιερεὺς διαπράττεται φυγαδευθῆναι τὸν Σίμωνα. καὶ ἐν τούτοις θνήσκει Σέλευκος ὁ καὶ Φιλοπάτωρ βασιλεύσας ἔτη ιβ', μεθ' ὃν Ἀντίοχος ὁ Ἐπιφανὴς ἀδελφὸς τοῦ αὐτοῦ Σελεύκου, υἱὸς δὲ Ἀντιόχου τοῦ μεγάλου, ὃς καὶ ἦν ὁμηρεύων ἐν Ῥώμῃ. βασιλεύει δὲ Συ-
V. 221 ρίας ἔτη ια'. τούτῳ Ἰάσων ἀδελφὸς Ὀνείου τξ' τάλαντα ὑπέσχετο εἰ τὴν ἀρχιερωσύνην λάβοι, καὶ ξ' ἄλλα προσόδου, καὶ ἕτερα ρ', εἰ τοὺς Ἰουδαίους πρὸς ἑλληνισμὸν μεταγάγοι. ἐφ' οἷς τὸν μὲν Ὀνείαν ἐξέωσε τῆς ἱερωσύνης ὁ Ἀντίοχος, Ἰάσωνι δὲ ταύτην παρέσχεν, ὡς γυμνάσιον ἐφήβων καταστήσας, ἀγῶνος
B ἐν Τύρῳ πενταετηρικοῦ ἀχθέντος θεωροὺς ἔπεμψεν Ἰάσων, καὶ δραχμὰς τρισχιλίας εἰς θυσίαν τοῦ Ἡρακλέους. καὶ τὸν βασιλέα Ἀντίοχον εἰς Ἱερουσαλὴμ ἐλθόντα μεγαλοπρεπῶς ὑπεδέξατο, χρήματά τε ἄλλα διὰ Μενελάου τοῦ ἀδελφοῦ Σίμωνος ἔπεμψεν. ὁ

2. τοῦ ἀρχιερέως — τοῦ ιδ' Ὀνείου om. B. 6. ἀρχιεροσύνην B, ut solet. παραποιούμενος G. 7. προδιδόναι Scaliger p. 67. Recte προδίδειν. Sic δίδειν supra p. 267 d. 11. Σέλευκος ὁ] ὁ Σέλευκος ὁ G. 14. τούτῳ Ἰάσων B. τούτῳ τῷ Ἰάσωνι G. 16. ἕτερα] ἄλλα G. 18. ὡς] ὅς m.

qua Ptolemaei, qua Antiochi posteris tributa pendebant et regum vice, pontificum imperio pacis fovendae studioso morem gerebant. Sub Oniae porro istius annum 14 Simon quidam Hierosolymorum templi praefectus Apollonium Phoeniciae ducem pontificatus obtinendi templi divitias prodendi animo convenit. De his Seleucus Apollonii litteris factus certior, Heliodorum regiis rebus praepositum mittit, qui divinis verberibus eruditus, re infecta revertitur; eam ob rem Simonem pelli Onias pontifex studiorum diligentia consequitur. Dum haec aguntur Seleucus Philopator dictus anno regni duodecimo moritur; quem Antiochus Epiphanes, Seleuci frater, Antiochi magni filius, Romae quondam obses datus, excipit, et Syriae imperat annis 11. Huic Iason Oniae frater talenta 360, si modo pontificatum obtineret, pollicebatur; tum annui redditus 60 et Iudaeis ab eo ad Graecam superstitionem adactis alia 100, Antiochus pollicitis illectus Oniam dignitate eiicit et in Iasonem transfert. Hic iuvenum instituta palaestra, quinquennali certamine Tyri celebrato legatos et Herculis sacrificio drachmarum 3000 mittit; et Antiochum Hierosolymam profectum ingenti pecuniarum pondere Menelai fratris Simonis manibus oblato et magnis honoribus



δὲ Μενέλαος τριακοσίοις ταλάντοις ὑπερβαλλόμενος τὸν Ἰάσωνα τῆς ἱερωσύνης ἐπέβη. ἀλλ' Ἰάσων μὲν διὰ ταῦτα εἰς τὴν Ἀμμανίτην ἔφυγε, Μενέλαος δὲ μὴ ὑπαντῶν διὰ πλήθους τὰ ὑποσχεθέντα δοῦναι τῷ Ἀντιόχῳ ἐξώσθη τῆς ἀρχιερωσύνης, Λυσίμαχός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται αὐτόν· Ὀνείας δὲ ὁ πρὸ τούτων ἀρχιερεὺς ἔννομος καὶ ἄριστος ἐν ἀνθρώποις κατὰ τὴν Δάφνην ἀποχωρήσας κατηγορῶν Μενελάου ἀναιρεῖται ὑπὸ Ἀν- C
δρονίκου δώροις πεισθέντος καὶ ἱεροσυλίαις τοῦ Μενελάου, ὃν Ἀντίοχος ἐπανελθὼν ἐκ Κιλικίας καὶ σφόδρα λυπηθεὶς ἐπὶ τῷ φόνῳ Ὀνείου καθεῖλε τῆς τιμῆς.

Ἑβραίων ἀρχιεράτευσε ιε' Ἰάσων ἀδελφὸς Ὀνείου ἀρχιερέως. ἀνιέρως διὰ χρημάτων ἐκράτησε τῆς ἀρχιερωσύνης, ἐκβαλὼν τὸν ἴδιον ἀδελφὸν Ὀνείαν· καὶ αὐτὸς ἐκβληθεὶς ὑπὸ Μενελάου μετὰ τρία ἔτη διὰ χρημάτων ὁμοίως. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετιε'.

Μετὰ τὴν ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν Περσῶν τοὺς ζ' τῆς αὐτοῦ βασιλείας ἤτοι πρὸ τοῦ τῆς Ἑλλήνων βασιλείας ἔτους, Ἕλληνας γὰρ καὶ Μακεδόνας κατὰ τὴν τῶν Μακκαβαίων γραφὴν τοὺς αὐτοὺς μεμαθήκαμεν, ἐξ ὧν ἥ τε κατὰ τὴν Μακεδονίαν μετὰ θάνατον Ἀλεξάνδρου διαιρεθεῖσα ἀρχὴ εἰς ἀρχάς, τήν τε κατ' D
Αἴγυπτον τῶν Πτολεμαίων καὶ Ἀντιόχειαν τῶν Ἀντιόχων καὶ τὰς λοιπάς, ὡς ἐκεῖ δεδήλωται, καὶ αὐτὴν τὴν Μακεδονίαν, ὑποχείριον ἔσχε τὸ τῶν Ἰουδαίων ἔθνος, ποτὲ μὲν ὑπὸ τοὺς Πτολε-

7. ἀποχωρήσας B. υποχωρήσας G. 8. ἱεροσυλίτης G. 9. λυπηθεὶς] ποθεὶς G. 10. καθεῖλε — ἀδελφὸς Ὀνείου om. G. 15. τοὺς ζ'] τῷ ζ' ἔτει m. 16. πρὸ τοῦ — ἔτους] πρώτῳ ἔτει m. 17. γραφὴν om. G.

excipit. Menelaus talentorum 300 promisso Iasonem superans ad pontificatum evehitur; Iason in Ammanitem se recipit. Menelaus exsolvendi promissi impotens dignitate movetur, subrogato in eius locum fratre Lysimacho. Onias autem legitimus dudum et optimus pontifex Menelaum accusandi causa Daphnem se confert, ubi ab Andronico sacrilegi Menelai donis corrupto interficitur. Antiochus e Cilicia reversus et Oniae sacrilege pecuniarum largitione sublati caede tristatus [lacrymas fundere visus est. Iason itaque Oniam, ut praemisimus,] fratrem pontificatu expulit, quo potitus, a Menelao donis sibi dignitatem comparante post annos tres eiectus est, anno mundi 5315.

Everso Alexandri armis Persarum imperio anno regni septimo, qui Graecorum primus numeratur, (Graecos enim et Macedonas ex Maccabaeorum historia eosdem esse novimus), unica, quae penes Macedoniam stabat regnandi potestas in plura regna divisa est; Aegypti nimirum, cuius principes Ptolemaei; Antiochiae, cuius sceptrum ab Antiochi posteris arreptum, nec non locorum aliorum (prout memorata historia describit) et ipsius tandem Macedoniae proprium. Quocirca Iudaeorum gens modo Pto-

μαίους, ποτὲ δὲ ὑπὸ τοὺς Ἀντιόχους, μέσον ἐχόντων τῶν δύο
τούτων ἀρχῶν τὴν κατοίκησιν τῆς ὑπὸ θεοῦ κεκληροδοτημένης
χώρας, εἰρήνης τε ἀπέλαυον ὡς τὰ πολλὰ ἐπὶ ἔτη ρλζʹ ἕως Ἀν-
τιόχου τοῦ Ἐπιφανοῦς, καὶ διεπομένων ὑπὸ τῶν ἀρχιερέων ἀντὶ
βασιλέων. πρὸ βραχέως γοῦν τῆς τοῦ Ἐπιφανοῦς Ἀντιόχου βα-
σιλείας, Σελεύκου τοῦ ἀδελφοῦ αὐτοῦ βασιλεύοντος, Ὀνείου δὲ
P. 278 ἀρχιερατεύοντος τῶν Ἰουδαίων ἀνδρὸς ἀρίστου καὶ θεοφιλοῦς,
Σίμων τις Ἰουδαῖος προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ παρα-
νομώτατος, τὸν Ὀνείαν ἐκβάλλειν σπουδάσας πολλαχοῦ καὶ μὴ
δυνηθεὶς, φυγὰς ἧκε πρὸς Ἀπολλώνιον Συρίας καὶ Φοινίκης καὶ
Κιλικίας στρατηγὸν, μηνύων θησαυροὺς πλείστων χρημάτων
ἰδιωτικῶν εἶναι παρὰ τῷ ἀρχιερεῖ Ὀνείᾳ ἐν τῷ ἱερῷ τεθησαυ-
ρισμένους, προσήκοντας τῷ βασιλεῖ Σελεύκῳ. ὁ δ' Ἀπολλώνιος
μηνύσας τῷ Σελεύκῳ ταῦτα καὶ τὸν τῆς πατρίδος προδότην ἀπο-
δεξάμενος ἔρχεται σὺν αὐτῷ κελευσθεὶς ὑπὸ τοῦ Σελεύκου εἰς
B Ἱερουσαλὴμ μετὰ στρατευμάτων, τὰ αὐτὰ ληψόμενος χρήματα.
τῶν δὲ Ἰουδαίων ἀδύνατον εἶναι λεγόντων τὰς τῷ ἱερῷ θησαυρῷ
πιστευθείσας παρακαταθήκας προδίδοσθαι καὶ τὸν θεὸν λιπα-
ρούντων σὺν δάκρυσι προστῆναι τοῦ ἱεροῦ, τοῦ τε Ἀπολλωνίου
μετὰ τῆς ἐνόπλου στρατείας ἐλθόντος εἰς τὸν ναὸν ἁρπάσαι τὰ
V. 222 χρήματα, ἄγγελοι φοβεροὶ φανέντες ἔφιπποι πάντας ἐντρόμους
κατέστησαν, ὅ τε Ἀπολλώνιος ἡμιθανὴς καταπεσὼν ἐπὶ τὸν

2. ἀρχῶν] ἐθνῶν G. 3. Vulgo ἀπήλαυον. 9. ἐκβάλλειν σπου-
δάσας B. σπουδάσας ἐκβάλλειν G. 12. ἰδιωτικὸν A. εἶναι B.
μὲν εἶναι G. ἱερῷ] ναῷ G. 13. προσηκοῦντας B. 16. λει-
ψόμενος B. 20. ἁρπάσαι] Vulgo ἁρπάξαι.

lemaeis, modo Antiochis, nationibus istis duabus provinciam a deo quondam Hebraeorum habitationi sorte distributam inter se mediam habentibus, subiecta, pace ut plurimum gaudebat annis 137, pontificibus regum vice publicam rem administrantibus ad Antiochi Illustris aetatem. Exiguo igitur ante Illustrem Antiochum temporis intervallo, Seleuco eius fratre regnum moderante, et Onia viro integro et religioso Iudaeorum pontificatum tenente, Simon quidam Iudaeus Hierosolymitani templi praefectus, homo nequissimus, frequenter Oniam pontificii culmine deiicere, incassum licet molitus, tandem ad Apollonium Syriae, Phoenices et Ciliciae praepositum fugiens, congestos privatarum pecuniarum thesauros Seleuci regis aerario reponendos apud Oniam in templo servari denunciat. Haec ad regem vicissim refert Apollonius et patriae proditorem humaniter excipit; Seleucique iussu ductis secum militibus et Iasone Hierusalem advolat, memoratas divitias aerario publico addicturus. Iudaeis thesauro deposita commissa prodere nefas esse conclamantibus et cum lacrymis templi clientelam deum sumere contestantibus, Apollonio vero armatorum militum vi cuncta diripere contendente, angeli terribiles equis insidentes manifesto visi circumspectantibus cunctis stuporem haud exiguum ingesserunt. Quare Apollo-



πάμφιλον περίβολον τοῦ ἱεροῦ παρεκάλει δεηθῆναι τοὺς Ἑβραίους
ὑπὲρ αὐτοῦ. θεραπευθεὶς δὲ ταῖς Ὀνείου λιταῖς ἧκε πρὸς Σέλευ-
κον κενὸς, ἀγγέλλων τὰ συμβάντα αὐτῷ· καὶ ἐν τούτοις ὁ Σέ- C
λευκος τελευτᾷ, ὡς ἐν τῇ δʹ τῶν Μακκαβαϊκῶν βίβλῳ φέρεται.
ἐν δὲ τῇ βʹ τῶν αὐτῶν Μακκαβαϊκῶν βίβλῳ ἄλλως πως ἱστορεῖ-
ται τὰ κατὰ τὸν παρὰ Σελεύκου σταλέντα πρὸς ἁρπαγὴν τῶν
χρημάτων Ἡλιόδωρον τὸν ἐπὶ τῶν χρημάτων, ὡς καὶ αὐτὸς μὲν
βιαίως ἁρπάζων ἀνῆλθε τὰς χηρῶν τε καὶ ὀρφανῶν παρακατα-
θήκας ἐν τῷ ἱερῷ γαζοφυλακίῳ, ταλάντων οὔσας χρυσίου σʹ καὶ
ἀργυρίου υʹ μόνων, ἐν οἷς καί τινα ἦν τῶν αὐτῶν χρημάτων
Ὑρκανοῦ τοῦ Τωβίου ἀνδρὸς ἐπισήμου, ὡς Ὀνείας ὁ ἱερὸς ἀρ-
χιερεὺς ἀπέδειξε, καὶ οὐχ ὡς Σίμων ὁ κατάρατος διεψεύσατο.
τοῦτον οὖν Ἡλιόδωρον, φησὶ, καὶ τοὺς σὺν αὐτῷ δορυφόρους
ἵππος τις φοβερὸς καλλίστῃ σάγῃ διακεκοσμημένος, φοβερώτερον D
ἔχων τὸν ἐπιβάτην, καὶ ῥύδην φερόμενος ἐξεδειμάτωσε τὰς ἐμ-
προσθίους ἐνσείσας ὁπλὰς αὐτῷ καὶ τῇ ἐνόπλῳ χρυσαυγείᾳ τοῦ
ἐπιβάτου. οἵ τε ἄλλοι φανέντες ἐκπρεπεῖς καὶ καταπληκτικοὶ δύο
νεανίαι μαστίζοντες αὐτὸν κατὰ νώτου καὶ στέρνων ἀφῆκαν ἡμι-
θανῆ· ὑπὲρ οὗ τὸν θεὸν ἐξιλεουμένου τοῦ Ὀνείου οἱ αὐτοὶ νεα-
νίαι φανέντες τῷ Ἡλιοδόρῳ εἶπον ἔχειν Ὀνείᾳ τῷ ἀρχιερεῖ τὴν
χάριν, δι' οὗ τὸ ζῆν ἔχει, καὶ πᾶσι διαγγέλλειν τὸ θεῖον κρά-

2. ταῖς] ταῖς τοῦ G. 3. ἀγγέλλων B. ἀναγγέλλων G. 4. τε-
λευτᾷ. ὡς ἐν τῇ βʹ τῶν Μακκαβαϊκῶν ἄλλως πως G. 5. βʹ] Cap. 3.
7. τὸν] τῶν B. 10. τῶν αὐτῶν B. αὐτῶν τῶν A. solum αὐ-
τῶν G. αὐτῶν delendum. 11. τοβίου B. 12. οὐχ ὡς] οὐχ ὁ A.
15. ἐμπροσθίους] ἐμπροσθείους B. ἐμπροσθήρους G. 17. εὐ-
πρεπεῖς G. 18. νώτου B. νώτων G. ἀφῆκον G.

nias semianimis in carum templi septum decidens, Iudaeos ad preces pro se offerendas sollicitabat. Hinc Oniae votis servatus, quae sibi contigerant palam factis ad Seleucum reversus est; et inter haec Seleucus vivis eripitur. Porro res ab Heliodoro regii aerarii praeposito gestae, cum a Seleuco thesauros rapturus fuit missus, ratione nonnihil diversa libro Maccabaeorum secundo narrantur. Ut nimirum viduarum et orphanorum deposita e sacro gazophylacio asportaturus adscenderit in templum; quorum tamen pretium auri talenta 200 et argenti 400 non excederet, in quibus insuper erant nonnulla, quae ad Hyrcanum Tobiae filium virum inprimis nobilem pertinerent, prout Onias sacer pontifex sincere demonstrabat, non ut mendaciter exsecrandus Simon enunciaverat. Hunc igitur Heliodorum, ait, et adiunctos satellites equus quidam terribilis ornatissimis phaleris instructus, sessoremque longe magis tremendum ferens, impetu in eum facto, anterioribus vibratis calcibus, aureorumque sessoris armorum radiante fulgore exterruit. Una iuvenes duo aeque specie ac vultu tremendi visi sunt, qui Heliodorum tergo et pectore toto caesum semivivum reliquerunt; pro cuius salute Onia divinum numen interpellante, iidem iuvenes facti Heliodoro conspicui dixerunt; haberet Oniae pontifici gratiam, cuius meritis vitam

τος· ὃς θύσας τῷ θεῷ καὶ ἀναζεύξας πρὸς Σέλευκον ἅπαντα
τῷ βασιλεῖ τὰ παράδοξα διηγεῖτο. ταῦτα δὴ κατὰ τὴν δευτέραν
τῶν Μακκαβαϊκῶν ὁ συγγραφεύς, ἀφεὶς τὰ κατὰ τὸν Σέλευκον,
P. 279 ἀπὸ τῶν κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα καὶ τοὺς μετ' αὐ-
τὸν ἐπιτεταμένως ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἤρξατο, λέγων
ὅτι τῷ ρλζ' ἔτει βασιλείας Ἑλλήνων ἐβασίλευσε, καὶ ὅτι παρανόμως
οἱ υἱοὶ ἐξ Ἰσραὴλ πορευθέντες πρὸς αὐτὸν ἑλληνίζειν ᾐτήσαντο,
αὐτός τε Ἀντίοχος τούτοις προσετέθη καὶ τὸν κατὰ Πτολεμαίου
καὶ τῆς Αἰγύπτου πόλεμον ἐκίνησεν ἐν ἅρμασι καὶ ἐλέφασι καὶ
ἱππεῦσι καὶ στόλῳ μεγάλῳ, σκευάσας τε τὴν Αἴγυπτον ἐπανῆλ-
θεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ τῷ ρμγ' ἔτει βασιλείας Ἑλλή-
νων· ὅπως τε εἰς τὸ ἁγίασμα μεθ' ὑπερηφανίας εἰσελθὼν ἔλαβε
τὸ θυσιαστήριον καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη
B οἴκου κυρίου καὶ τὸν κόσμον καὶ τοὺς θησαυρούς, ποιήσας φο-
νοκτονίαν πολλήν· ἡνίκα καὶ τὰ κατὰ Ἐλεάζαρον καὶ τοὺς ἑπτὰ
παῖδας καὶ τὴν μητέρα αὐτῶν μαρτυρικῶς πέπρακται, ὡς ἐν
τετάρτῃ βίβλῳ τῶν Μακκαβαϊκῶν. καὶ μετὰ δύο ἔτη ἀπέστειλεν
ἄρχοντα φορολογῆσαι τὴν Ἰουδαίαν· οὗτος δὲ ἦν Ἀπολλώνιος
μυσάρχης ὑπὸ Μενελάου τοῦ καταράτου αἰτηθεὶς σταλῆναι παρὰ
Ἀντιόχου πρὸς τελείαν καταφθορὰν τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐν
αὐτῇ. ἐλθὼν οὖν εἰρηνικῶς ἐφ' ἡμέρας τρεῖς διῆγεν ὡς φίλος.
C τῇ δὲ ἡμέρᾳ τοῦ σαββάτου πάντων ἀργούντων κατέσφαξε τοὺς

5. λέγων B. λέγειν G. 10. κατασκευάσας m. 11. εἰς] ἐν G. 15. τὰ om. B. 21. εἰρηνικὸς A.

receperat, ut dei potentiam cunctis redderet manifestam. Ille victimis deo immolatis, ad Seleucum remeans, cuncta haec stupenda regi enarravit. At vero tum quae Seleucum, tum quae alios Alexandri Macedonis successores spectant fusius et explicatius tractandis Maccabaeorum libro secundo relictis, ab Antiocho Illustri narrationis principium auctor exorsus est; ut videlicet regni Graecorum anno 137 solium conscenderit, et ut filiis Israël impie ad eum confluentibus et Graecorum superstitioni addici postulantibus assensum et animum adiecerit; ut ingenti armorum, elephantum, equitum, classis quoque apparatu bello in Ptolemaeum et Aegyptum moto, regione vastata, victor Hierosolymam numeroso exercitu secum ducto fuerit ingressus anno Graecorum imperii 143, et ut in sancta arroganter intrusus altare, luminis candelabrum et vasa domus domini cuncta, ornatum omnem, thesauros universos plurima strage praemissa secum asportaverit; quo tempore Eleazari, septem puerorum et eorum matris martyrio probata constantia refulsit; quae libro Maccabaeorum quarto discribuntur. Elapso biennio ex optimatibus quendam Iudaeae vectigalia collecturum rex misit. Erat hic impius Apollonius integrae Hierusalem et civium eius ruinae consummandae ab exsecrando Menelao, ut ab Antiocho mitteretur, expetitus. Pacem in adventu praeferens dies solos tres amicorum more agendos statuit. Sabbati demum die cessantibus operis militaris aetatis



ἐν ἡλικίᾳ καὶ τὴν πόλιν ἐνέπρησε, τὸ δεύτερον τὰ τείχη καθελὼν
καὶ τοὺς οἴκους αἰχμαλωτίσας τε γυναῖκας καὶ τὰ τέκνα σὺν τοῖς
ὑπάρχουσι· τὰ δὲ σκῦλα ἀπέθετο ἐν τῇ ἄκρᾳ τῇ λεγομένῃ πόλει
Δαβίδ, ἥτις ἦν ὀχύρωμα τῇ Ἱερουσαλήμ, ἐποικοδομήσας αὐτὴν
τείχει μεγάλῳ καὶ πύργοις ὀχυροῖς καὶ ἐγκατοικίσας στράτευμα
καὶ ὅπλα καὶ τροφὰς ἀποθέμενος. καὶ μετὰ ταῦτα ἀπέστειλεν
Ἀντίοχος γέροντα Ἀθηναῖον, καταναγκάζων τὸ ἔθνος ἑλληνίζειν V. 223
καὶ πᾶσαν τὴν κατὰ νόμον ἀποπαῦσαι λατρείαν· καὶ ἐν τῷ ναῷ
Διὸς Ὀλυμπίου στησάμενος ἄγαλμα τῇ ιε' ἡμέρᾳ τοῦ μηνὸς Χα-
σελεῦ, ἔτει κατὰ Ἰώσηππον ρμε', ἐν δὲ Σαμαρείᾳ Διὸς ξενίου.
τά τε βιβλία τοῦ νόμου κατασχίζειν προσέταξε καὶ ἐμπιπρᾶν, τοὺς D
δὲ περιτεμνομένους θανατοῦν, καὶ τὰ νεκρὰ τῶν βρεφῶν κρεμᾶν
ἐκ τῶν τραχήλων τῶν μητέρων, καὶ πολλοὶ ἐξ Ἱερουσαλὴμ ἀπέ-
θανον ὑπὲρ τῶν πατρίων νομίμων.

Τότε Ματθίας τις ἱερεὺς τῶν υἱῶν Ἰωαρείμ, υἱὸς Ἰωάννου
τοῦ Συμεών, ἐξελθὼν ἀπὸ Ἱερουσαλὴμ ἐκάθισεν ἐν Μωδεείν, καὶ
αὐτῷ υἱοὶ πέντε, Ἰωάννης ὁ ἐπιλεγόμενος Γάδδης, Σίμων ὁ κα-
λούμενος Θάσος, Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, Ἐλεάζαρος
ὁ καλούμενος Ἀβαράν, Ἰωνάθας ὁ καὶ Σαπφοῦς. οὗτος ἐθρήνει P. 280
τὴν πόλιν καὶ τὸ σύντριμμα τοῦ γένους σὺν τοῖς υἱοῖς, περιθέ-

1. τὸ δὲ δεύτερον G. 3. σκύλλα A. τῇ] τι A. 5. Vulgo ἐγκατοικήσας. 6. ἀποθέμενος] καὶ ἀποθέμενος A. 7. καταναγκάζων B. καταναγκάζοντα G. Conf. Maccab. II, 6. 9. Χασλεῦ G. 10. ἰώσηππον B. τὸν Ἰώσηππον G. 13. ἐκ τὸν τράχηλον B. 16. ἐκάθησεν B. μωδεείν B. μωδεείμ A. Μοδεείμ G. Vide Ioseph. Antiq. XII, 6. 17. αὐτῷ] αὐτοὶ A. 19. ἀβαρᾶν A. καὶ om. G. σαπφοῦς AB. Σάπφους G. Corrige Ἀπφοῦς ex Iosepho. ἐθρήνη B.

viros trucidari et civitatem succendi imperat; muris deinde disiectis et eversis aedibus, facultatibus quoque direptis mulieres et pueros captivos egit; spoliis mox in arce, civitate David nuncupata, Hierosolymorum videlicet loco munito, depositis; altis muris et firmis turribus, militum praesidio, armis cibisque illatis locum communivit. His actis misit Antiochus senem quendam Atheniensem, qui divino ac secundum Mosi legem cultu exstincto, ad profanum Graecorum ritum Iudaeos transire cogeret. Quocirca in dei templo Iovis Olympii statuam Chasleu mensis die decimo quinto anno iuxta Iosephi computum 145, et in Samaria Iovis Hospitalis simulacrum posuit; legis libros discerpi et flammis comburi, pueros circumcisos necari et e matrum collis suspensa mortuorum publice deferri praecepit; eam ob rem cadavera patrii instituti legibus observandis leto plurimi sese exposuerunt.

Eo tempore Matthias quidam sacerdos ex filiis Ioarim, Ioannis filius, Symeonis nepos, Hierosolymis egressus recessit in montem Modim. Erant porro illi filii quinque, Ioannes, cognomento Gaddes, Simon, nuncupatus Thasus, Iudas, dictus Maccabaeus, Eleazarus, qui et Abaran, ac Ionathas, qui Apphus. Hic sanctam urbem et saccis indutus eius calamitatem

μενος σάκκους. ἐλθόντα δὲ τὸν παρὰ τοῦ βασιλέως καταναγκάζοντα θύειν τοῖς εἰδώλοις ὡς εἶδε, τινὰ προσελθόντα Ἰουδαῖον ἐπὶ τὸν βωμὸν ἐν Μωδεεὶμ τῇ πόλει δραμὼν ἔσφαξεν αὐτὸν, καὶ τὸν ἄνδρα τὸν παρὰ τοῦ Ἀντιόχου ἀναγκάζοντα θύειν, ὡς Φινεὲς τὸν Ζαμβρὶ υἱὸν Σαλὼμ καὶ τὴν Μαδιανῖτιν. καὶ ἐξῆλθε φεύγων σὺν τοῖς υἱοῖς καὶ ἄλλοις ὁμογνώμοσι πλείστοις εἰς τὴν
B ἔρημον. οἷς ἐπιπέμψας ὁ βασιλεὺς στράτευμα ἐν ἡμέρᾳ σαββάτου ἀνεῖλεν αὐτῶν ἀμφὶ τοὺς χιλίους. Ματθίας δὲ βουλευσάμενος σὺν τοῖς φίλοις ἔγνω καλὸν εἶναι πολεμεῖν ὑπὲρ τῶν νομίμων ἐν σάββασι. καὶ ἐκράτησε πολλῶν καὶ πόλεις ἠλευθέρωσε καὶ βωμοὺς κατεστρέψατο. οὗτος ἀποθνήσκων περὶ εὐσεβείας τοῖς σὺν αὐτῷ διελέχθη, καὶ τοὺς υἱοὺς ἀντ᾽ αὐτοῦ κατέστησεν ἄρχοντας τοῦ λαοῦ, ὧν Ἰούδας ἡγεῖτο ὁ Μακκαβαῖος. πρὸς τοῦτον Ἀπολλώνιος Ἀντιόχου στρατηγὸς παραταξάμενος μετὰ δυνάμεων Σύρων καὶ Σαμαρέων ἀναιρεῖται σὺν πολλοῖς. ἔπειτα Σήρων ἄρχων δυνάμεως Συρίας ἐπελθὼν Ἰουδαίοις μετὰ δυνάμεως μεγάλης ἀναιρεῖται σὺν πολλοῖς. πρὸς ταῦτα ἀγανακτήσας Ἀντίοχος, μέλλων ἐπὶ τὴν Περσίδα πορεύεσθαι διὰ φόρων συναγωγὴν, ἐκέλευσε Λυ-
C σίαν τὸν ἐπὶ τῶν πραγμάτων Ἰουδαίοις πολεμεῖν· ὃς Πτολεμαῖον καὶ Γοργίαν καὶ Νικάνορα στρατηγοὺς ἐκπέμπει, οἰόμενος τὸν Ῥωμαϊκὸν φόρον τὰ ͵α τάλαντα ἐκ τῶν Ἰουδαϊκῶν λαφύρων

3. ἐν μωδεεὶμ B. ἐμμωδεεὶμ A. ἐν Μοδεὶμ G. 5. ζαμβρὶ B. Ζαμρὶ G. μαδιανήτην B. 12. Vulgo διηλέχθη. 14. δυνάμεων AB. δυνάμεως G. Iosephi (XII, 7.) comparatio docet Georgium dicere debuisse μετὰ δυνάμεως Σαμαρέων, omissis Σύρων καί. 15. ἔπειτα — σὺν πολλοῖς addidi ex AB. Σήρων] Codices σύρων. 18. ἐπὶ] εἰς G. 19. τὸν] τῶν B. 21. τὰ ͵α B. χίλια G.

cum filiis lugebat. Eum vero qui ex regis mandato idolis sacra facere cogeret et una Iudaeum quendam in civitate Modim immolare paratum cum cerneret, exsiliens sacrificaturum occidit, unaque senem ab Antiocho missum et ad impios ritum compellentem, ad Phinees instar Zamri filium Salom et Madianitidem confodientis, e medio propria manu sustulit; mox cum filiis et aliis eiusdem consilii consciis fuga se proripuit in desertum, in quos exercitu die Sabbati misso ex eis circa mille viros rex gladiis confecit. Matthias communicato cum amicis proposito etiam Sabbatis arma tractare, bello vitam legemque tueri aequi bonique consuluit; ex quo frequentes victoriae, urbes in libertatem vindicatae, eversae gentilium arae. Moriturus demum cum suis de religione habito tractatu, filios populi principes instituit, et Iudam Maccabaeum summum inter eos ducem. Antiochi dux Apollonius Syrorum et Samariensium copiis eductis commissoque praelio, e suis plures amisit et ipse vitam in conflictu reliquit. His exacerbatus Antiochus indicta in Persidem corrogandarum ergo pecuniarum profectione, Lysiam negotiis Iudaeae praefectum Iudaeos bello lacessere iubet, ac Ptolemaeo, Gorgia et Nicanore ducibus institutis, pendendum Romanis talentorum mille tributum ex Iudaeorum spoliis collecturum se sperabat. Illi ad Emmauntem



παριστᾶν. συμβαλόντες δὲ περὶ Ἐμμαοῦντα τοῖς Ἰουδαίοις ἡττῶνται δεινῶς, καὶ τῷ ἐφεξῆς ἔτει ὁμοίως πάσχουσιν Ἕλληνες. τότε Ἰούδας ἐλθὼν εἰς Ἱερουσαλὴμ, τὸν ναὸν ἐκάθηρε τῶν βδελυγμάτων, πολιορκῶν τοὺς ἐν τῇ ἄκρᾳ φρουροῦντας καὶ τειχίζων τὴν πόλιν, τοῖς τε ἐν τῇ Ἀκραβεντήνῃ Ἰουδαίοις ἐπολέμει καὶ Ἀμμανίταις καὶ Τιμοθέῳ ἐπικειμένῳ τῇ Γαλααδίτιδι. Τυρίοις δὲ καὶ Σιδωνίοις καὶ Πτολεμαίοις πορθοῦσι τὴν Γαλιλαίαν τὸν ἀδελφὸν ἔπεμψε Σίμωνα καὶ πάντας ἀπέστησεν. ἐν οἷς κατὰ Ἰώ- D
σηππον ἐπίτροπον τῆς πόλεως ὑπὸ Ἰούδα κατασταθέντα καὶ ἡ κατὰ Ἰαβανίαν πόλιν ἀποτυχία αὐτοῦ· εἶτα Ἰούδα τιμωρία εἰς Ἰόππην καὶ τοὺς ἐν αὐτῇ διὰ τοὺς ὑπ᾽ αὐτῶν καταποντωθέντας Ἰουδαίους, καὶ ἡ κατὰ Ἰαβινίας καὶ Τιμοθέου εὐδοκίμησις Ἰούδα.

Ἀντίοχος δὲ ὁ βασιλεὺς Ἐλυμαΐδι πόλει Περσικῇ διὰ πλοῦτον V. 224
πολὺν ἀποκείμενον ἐν αὐτῇ προσβαλὼν εἰς πόλεμον ἀποτυγχάνει. ἀπαγγελθέντων δὲ αὐτῷ καὶ τῶν Ἰούδα ἀριστευμάτων νόσῳ περιελθὼν ἀθυμίας καὶ ἀϋπνίας δεινῶς θνήσκει. Λυσίας δὲ τὸν P. 281
αὐτοῦ παῖδα Ἀντίοχον ἀνατρέφων Εὐπάτορα προσαγορεύσας ἐπὶ τῆς ἀρχῆς καθιστᾷ, μετὰ δυνάμεώς τε πολλῆς καὶ ἐλεφάντων κατὰ Ἰουδαίων ἐπιστρατεύει. κρατερᾶς δὲ μάχης συστάσης καὶ τοῦ βασιλικοῦ θηρίου ὑπὸ Ἐλεαζάρου τοῦ Σαυαρὰν ἀναιρεθέντος ὁ

1. παριστᾶν B. περιστᾶν G. 3. τῶν βδελυγμάτων] ἀγαλμάτων G. 5. ἀκραβεντήνῃ B. ἄκρᾳ Βεττίνῃ G. Vide Iosephum XII, 8. 11. Ἰόππην] ἰώππην B. Ἰώσηππον G. 12. ἰαβινίας B. Ἰαβινίας G. 18. ἀναγορεύσας G. 21. σαυαρὰν B. σαυαρᾶν A. Σαβαρὰν G.

cum Iudaeis congressi contrarium Martem experiuntur, quo pariter anno succedente affictantur Graeci. Iudas victoriis elatus et in Hierusalem profectus, templo idolis expurgato, praesidium in arce positum obsidet, urbis moenia restaurat, et cum Acrabettinensibus Idumaeis, cum Ammanitis et Timotheo per Galaaditidem regionem grassantibus frequentioribus praeliis dimicat. Tyrios etiam, Sidonios et Ptolemaicas copias Galilaeam depraedantes misso fratre Simone reprimit. Temperavit nihilo secius victoriarum successum clades ad Iamniam civitatem accepta, et Iosephi, quem Iudas urbi procuratorem dederat, proditio, quam Iosephus ipse sanguine expiavit; poena quoque a sceleratis civibus expetita propter Iudaeos oppressos, res quoque adversus Iamniam et Timotheum gestae Iudae nomen clarius reddidere.

Antiochus autem rex Elymaidem civitatem Persicam immensis opibus in ea repositis locupletem bello capere molitus, spe frustratur; praeclaris quoque Iudae facinoribus auditis, morbo corripitur et moerore somnique inedia iactatus interiit. Lysias filium eius Antiochum, eius enim erat nutritius, Eupatorem appellatum in solio collocat et cum copioso militum et elephantum numero in Iudaeos movet; crudeli hinc inde certamine inito, Eleazarus Auranes regium elephantem confodit; rexque demum cum Iu-

βασιλεὺς Ἰουδαίοις ἐσπείσατο. καὶ εἰσελθὼν εἰς τὴν πόλιν καθεῖλε τὸ τεῖχος μετὰ τοὺς ὅρκους Ἰούδαν καταλιπὼν ἄρχειν μέχρι Πτολεμαΐδος. καὶ ἀναζεύξας εἰς Ἀντιόχειαν ὀξέως κατὰ Φιλίππου ἐκ Περσίδος ἐπανελθόντος σὺν ταῖς δυνάμεσι καὶ τὴν βασιλείαν εἰς ἑαυτὸν περιστήσαντος, ὃν πολιορκήσας κατέλαβε τὴν Ἀντιόχειαν. B αὐτός τε παραυτὰ ἐκβληθεὶς ὑπὸ Δημητρίου υἱοῦ Σελεύκου ὁμηρεύοντος ἐν Ῥώμῃ καὶ κατελθόντος εἰς Τρίπολιν τῆς Φοινίκης πλῷ, ἐν ἡμέραις ἀναιρεῖται συλληφθεὶς ἅμα τῷ Λυσίᾳ παρὰ τοῦ πλήθους, προστάξει Δημητρίου ἀδελφιδοῦ μὴ ἀνασχομένου θεάσασθαι αὐτὸν, βασιλεύσας ἔτος ἓν ἥμισυ· μεθ' ὃν ὁ αὐτὸς Δημήτριος βασιλεύει ἔτη ιβ'. τούτῳ προσφεύγουσιν ἀσεβεῖς τινες Ἰουδαῖοι, ὧν ἡγεῖτο Ἄλκιμός τις ἐκ τοῦ ἱερατικοῦ γένους. οὗτος τοῦ Ἰούδα κατηγορεῖ τὴν ἱερωσύνην τε πρὸς τοῦ Δημητρίου ἐγχειρίζεται. διὰ τοῦτο καὶ εἰς τὴν πατρίδα Βακχίδην στρατηγὸν ἔχων μετὰ δυνάμεως ἔρχεται κατὰ τοῦ Ἰούδα καὶ τῶν ὁμο- C φύλων. λόγοις δὲ πείθειν τὸν Ἰούδαν οὐ δυνηθεὶς ὁ Βακχίδης δολεροῖς σὺν τῷ ἀνιέρῳ Ἀλκίμῳ τῶν Ἰουδαίων ἐπισήμους ἄνδρας ξ' λόγοις εἰρήνης ἀπατήσαντες ἀνεῖλον ἐν ἡμέρᾳ μιᾷ· τήν τε ἱερωσύνην κατορθώσας τῷ Ἀλκίμῳ Βακχίδης ἀνέζευξε πρὸς Δημήτριον. μετὰ δὲ ταῦτα πολλοὺς τῶν ἀσεβῶν τιμωρουμένου τοῦ Ἰούδα Δημήτριος Νικάνορα μετὰ δυνάμεως πέμπει καταλῦσαι τὸν πόλεμον τῷ Ἰούδα, γῆμαί τε καὶ παιδοποιήσασθαι. τούτοις

2. καταλειπὼν B. 4. ἐπανελθόντος m. ἐπανελθόντι G. καὶ om. G. 5. κατελάβετο B. 7. πλῷ B. πλωὶ G. 8. παρὰ add. B. 12. ἐκ τοῦ om. G. 16. βακχήδης B. 17. Ἰουδαίων] ἀσιδαίων B.

daeis pacem componit. Et ingressus civitatem foederibus violatis civitatis moenia diruit; Iudam vero ad Ptolemaidem usque dominari permittit. Mox Antiochiam celeriter regressus Philippo ex Perside cum exercitu revertenti et regnum sibi vindicanti vires adversas opponit et Antiochiam obsidione captam ingreditur. Demum a Demetrio Seleuci, qui Romae fuerat obses, et navi Tripolin Phoenices appulerat paucis diebus interpositis cum Lysiae copiis comprehensus Demetrii consobrini iussu, cuius colloquium nulla ratione potuit obtinere, interficitur, regnum moderatus anno solo et dimidio, cui Demetrius annis 12 successit. Ad eum Iudaei quidam sceleribus insignes, quorum princeps fuit Alcimus sacerdotali stirpe natus, confugiunt. Hic Iuda plurimorum accusato, pontificis dignitatem a Demetrio consequitur. Quocirca Bacchidis ducis et armatorum comitatu fretus Iudam et contribules ulturus revertitur. Cum vero Bacchides et sacrilegus Alcimus dolis Iudam circumvenire non possent, viros Iudaeos sexaginta, fraudulentae pacis obtentu deceptos uno die confecerunt; et pontificiis infulis Alcimo a Bacchide delatis, Bacchides ipse ad Demetrium rediit. Imperiorum deinde Iudaeorum crimina poenis ultricibus Iuda persequente, Nicanorem cum apparatu bello in Iudam mittit Demetrius……



δ' οὐκ ἀρεσθεὶς Ἄλκιμος διέβαλε τὸν Νικάνορα αἰτῶν ζῶντα συλλαβεῖν τὸν Ἰούδαν. πολέμου δὲ συστάντος νικῶσιν οἱ περὶ τὸν Ἰούδαν, πίπτει δὲ Νικάνωρ, ἀποτμηθείς τε τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ εἰς Ἱερουσαλὴμ ἀνεσταυρώθη. Ἰούδας Ῥωμαίοις καὶ D Λακεδαιμονίοις φιλοῦται. Δημήτριος μανεὶς πέμπει Βακχίδην σὺν Ἀλκίμῳ κατὰ τοῦ Ἰούδα. οἱ δὲ ἐπελθόντες τῷ Ἰούδα περὶ τὴν Βασὰν οὐκ ἔχοντι πλὴν ω' ἀνδρῶν συμβάλλουσι. καὶ πεσόντων ἐξ ἀμφοτέρων πολλῶν Ἰούδας ἀριστεύων θνήσκει. τούτοις ἀκόλουθα περιέχει ἡ αὐτὴ πρώτη τῶν Μακκαβαϊκῶν βίβλος τὰ κατὰ Ἰωνάθην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. ἡ δὲ τρίτη τὰ πρὸ τούτων πραχθέντα δεινὰ ὑπὸ Πτολεμαίου τοῦ Εὐπάτορος εἰς Ἰουδαίους. εἰσὶ δὲ τὰ τῶν ἀνιέρως διὰ χρημάτων κρατησάντων Σίμωνος, Ἰάσωνος, Μενελάου καὶ Λυσιμάχου ἐπὶ τῆς ἀπιστίας Σελεύκου καὶ Ἀντιόχου ἔτη ιθ', καθὼς τοὺς ὄπισθεν καὶ τοὺς με- P. 282 τέπειτα ἀρχιερεῖς ὁ τὴν βίβλον συνταξάμενος ἐστοιχείωσε.

### Μακεδόνων βασιλεῖς.

Μακεδόνων ιδ' ἐβασίλευσεν Ἀντίγονος ὁ Φοῦσκος ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσξθ'.

Μακεδόνων ιε' ἐβασίλευσε Φίλιππος υἱὸς Δημητρίου ἔτη καθ' V. 225 ἑαυτὸν μβ', ἐκ Χρυσηΐδος τῆς αἰχμαλώτου. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσπα'.

1. διέβαλε B. διέβαλλε G. αἰτῶν] ζητῶν G. 3. τε] δὲ B. 12. ἀνιέρως] ἀνιέρων G. 13. ἀπιστείας B. 16 om. B. 21. ͵εσπα' B. ͵εσξπα' (sic) A. ͵εσξα' G.

connubia nectere et filiis procreandis vacare. His parum contentus Alcimus Nicanorem incusat et Iudam vivum comprehendere contendit. Certamine vero commisso cadit ipse Nicanor, et capite dextraque praecisis, Hierosolymis cruci suffixus est. Iudas Romanis et Lacedaemoniis amicitia iungitur. Demetrius ira percitus Bacchidem et Alcimum mittit in Iudam. Illi ad Basan fines cum Iuda viris duntaxat 800 stipato congressi, caesis ex utraque parte plurimis, Iudam vires ostentantem bellicas opprimunt. His adiuncta continet Maccabaeorum liber iste primus, res nimirum ab Ionatha et eius fratribus gestas; tertius praevias calamitates ab Eupatore Ptolemaeo in Iudaeos inductas narrat; quae videlicet a sacrilegis Simone, Iasone, Menelao et Lysimacho sub Seleuci et Antiochi infidelium regno pecuniarum largitione potestatem assequutis per annos novemdecim sunt attentata; prout retropositos et succedentes pontifices memoratorum auctor librorum recensuit.

### Macedonum reges.

Macedonum rex 14 Antiochus Phuscus annis 12, mundi vero 5269.

Macedonum rex 15 Philippus Demetrii filius e Chryseide captiva natus annis 42 regnavit solus; mundi vero 5281.

Ἐπὶ τούτου τοῦ Φιλίππου Τίτος Ῥωμαίων στρατηγὸς εἰς Μακεδονίαν ἐλθὼν κρατεῖ μὲν χειρὶ Μακεδόνων καὶ ὑπὸ Ῥω-
B μαίους τίθησι, συμμαχῶν Ἀννίβᾳ καὶ Καρχηδονίοις κατὰ Ῥωμαίων συνθεμένοις, ὁμηρόν τε λαμβάνει Δημήτριον τὸν αὐτοῦ παῖδα, ὑπαγόμενος καὶ Λακεδαιμονίους καὶ τοὺς λοιποὺς Ἕλληνας φιλανθρωπίᾳ καὶ πραότητι καὶ συνέσει τὴν ἐλευθερίαν παρέσχε.

Τότε Ἐρατοσθένης ἐγνωρίζετο.

Μακεδόνων ιϛʹ ἐβασίλευσε Περσεὺς ἔτη ηʹ καὶ μῆνας θʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετκγʹ.

Ἐπὶ τούτου τοῦ Περσέως τὰ Μακεδόνων καταλέλυται περὶ
C τὴν Πύδναν κατὰ κράτος ὑπὸ Ῥωμαίων ἡττηθέντων. ἡγεῖτο δὲ τῶν στρατευμάτων Αἰμίλιος Μάρκος τῆς Ῥωμαίων βουλῆς εἷς ὤν, ἄριστος ὑπατικός. οὗτος Περσέα λαβὼν ζῶντα ἅμα δυσὶν υἱοῖς καὶ μιᾷ θυγατρὶ πᾶσάν τε τὴν Μακεδόνων βασιλείαν εἰς Ῥώμην ἀπήγαγε.

Μακεδόνων ιζʹ ἐβασίλευσε Ψευδοφίλιππος ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετκδʹ.

## Αἰγύπτου καὶ Ἀλεξανδρείας βασιλεῖς.

D Αἰγύπτου καὶ Ἀλεξανδρείας τέταρτος ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλοπάτωρ ἔτη ιζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσογʹ.

3. συμμαχῶν Scaliger. Vulgo συμμαχεῖν. ἀννίβα καὶ A. ἀννιβὰ καὶ B. Ἀννίβα δὲ G. Καρχηδονίοις — συνθεμένοις — λαμβάνει Scaliger. Libri καρχηδονίους — συνθεμένους — λαμβάνειν. 13. εἷς ὢν] εἰς ὢν B. εἰς ὃν G. 18. ͵ετλβʹ m. 19. αἰγυπτίων B.

Eo regnante Titus (Quintius) Romani dux exercitus expeditione in Macedoniam suscepta bellico robore Macedones profligat, belli societatem adversus Annibalem et Carthaginenses Romani nominis hostes cum Romanis inire cogit et foederis obsidem Demetrii filium abducit. Lacedaemoniis autem et reliquis Graecorum humanitate, mansuetudine et solertia sibi usitata sub manum missis libertatem reliquit.

Eo tempore Eratosthenes celebrabatur.

Macedonum rex 16 Perseus annis 8 et mensibus 9; erat porro mundi annus 5323.

Perseo regnante a validissimo Romanorum exercitu Macedonum imperium ad Pydnam deletum est. Romanas acies Marcus Aemilius senatorii ordinis ac consul optimus ducebat. Hic Perseum vivum cum filiis duobus masculis et filia unica captum Romam abduxit unaque Macedonum regnum universum Romae subdidit potestati.

Macedonum rex 17 Pseudophilippus anno uno, mundi vero 5332.

### Aegypti et Alexandriae reges.

Aegypti et Alexandriae rex 4 Ptolemaeus Philopator annis 17, mundi vero 5273.



Ἀντίοχος ὁ μέγας Πτολεμαίου τὴν Ἰουδαίαν κρατοῦντος τοῦ Φιλοπάτορος πολέμῳ νικήσας αὐτὸν τὴν χώραν ἀφείλατο. ἡ τρίτη τῶν Μακκαβαίων βίβλος περὶ τοῦ Φιλοπάτορος τούτου Πτολεμαίου ἱστορεῖ, οὐκ οἶδ' ὅπως ἀντιστρόφῳ τάξει.

Αἰγύπτου καὶ Ἀλεξανδρείας εʹ ἐβασίλευσε Πτολεμαῖος ὁ Ἐπιφανὴς ἔτη κδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσϟʹ.

Ἀντίοχος μέγας Πτολεμαίῳ τῷ Ἐπιφανεῖ φιλωθεὶς Κλεοπά- P. 283
τραν ἔγημε θυγατέρα αὐτοῦ καὶ λόγῳ φερνῆς αὐτῆς Συρίαν, Φοινίκην Σαμάρειάν τε καὶ Ἰουδαίαν ἔλαβε παρ' αὐτοῦ, ἣν πρὸ μικροῦ λαβὼν ἦν διὰ Σκόπα στρατηγοῦ ὁ Πτολεμαῖος.

Πτολεμαῖος ὁ Ἐπιφανὴς τὴν Ἰουδαίαν καὶ ἄλλας πόλεις τῆς Συρίας πέμψας ἐχειρώσατο διὰ Σκόπα στρατηγοῦ. πρὸς ὃν Ἀντίοχος ὁ μέγας αὖθις πολεμήσας ταύτας ἐχειρώσατο, συμμαχούντων αὐτῷ καὶ Ἰουδαίων, οἷς δι' ἐπιστολῶν πολλὰ μαρτυρήσας δωρεαῖς μεγάλαις ἐτίμησεν.

Ὑρκανὸς Ἰωσήππου παῖς στρατηγοῦ τῶν Ἰουδαίων πρὸς Πτολεμαῖον ἐλθὼν καλῶς ὑπεδέχθη. οἱ δὲ ἀδελφοὶ αὐτοῦ πρὸς αὐ- B
τὸν στασιάσαντες μεγάλης ταραχῆς αἴτιοι γεγόνασιν Ἰουδαίοις.

Πτολεμαίου τοῦ Ἐπιφανοῦς ἀποθανόντος κδʹ ἔτει τῆς βασιλείας αὐτοῦ δύο παῖδες αὐτοῦ Πτολεμαῖοι τὴν ἀρχὴν μετ' αὐτὸν διεδέξαντο, ὧν ὁ πρεσβύτερος Φιλομήτωρ ἐπεκέκλητο, ὁ δὲ νεώτερος Εὐεργέτης. πρὸς ἀλλήλους δὲ στασιάζοντες ἐναλλὰξ ἐβασι-

2. τρίτη] Vide Eusebium p. 353. 10 et 12. σκοπᾶ B. Σκοποῦ G. 19. τοῦ] τούτου G. τῷ κδʹ G. ἔτει add. B. 20. οἱ δύο G.

Antiochus magnus Ptolemaeo Philopatori Iudaeam sibi vindicanti et armis victo memoratam abstulit regionem. De hoc Philopatore Maccabaeorum liber tertius narrationem instituit; verum cur ordine praepostero eam pertexat, hucusque me latet.

Aegypti et Alexandriae rex 5 Ptolemaeus Epiphanes annis 24, mundi vero 5290.

Antiochus Magnus pace cum Ptolemaeo Epiphane firmata Cleopatram eius filiam duxit uxorem; dotis vero nomine Syriam, Phoenicem, Samariam et Iudaeam Scopae ducis virtute nuper recuperatam ab eo accepit.

Ptolemaeus Epiphanes Scopa duce Iudaeam et alias Syriae civitates subiectas reddidit; in quem Antiochus Magnus educto exercitu, et Iudaeis quos litterarum promissis et magnis muneribus sibi conciliavit opem ferentibus, suo restituit imperio.

Hyrcanus Iosephi Iudaeorum ducis filius ad Ptolemaeum profectus humaniter receptus est; eius vero fratres in eum tumultuati ingentium malorum Iudaeis auctores praebuerunt.

Ptolemaeo isto Epiphane vita functo anno regni 24 filii duo Ptolemaei regnum post eum exceperunt; seniori cognomentum Philometor, iuniori Euergetes. Dissidio inter eos exorto, alternis vicibus potestatem exercere

λευσαν. διὸ καὶ σύγχυσις γέγονε περὶ τοὺς χρόνους αὐτῶν. πρῶ- V. 226 τος γὰρ ὁ Φιλομήτωρ μόνος ια' ἔτη ἐβασίλευσεν, εἶτα ὑπὸ Ἀντιόχου ἐξεβλήθη ἐπιστρατεύσαντος κατ' αὐτοῦ εἰς Αἴγυπτον, καὶ ἀφελόντος αὐτοῦ τὸ διάδημα, κρατεῖ τῶν πραγμάτων Πτολε- C μαῖος ὁ Εὐεργέτης ὁ νεώτερος ἀδελφὸς τοῦ Φιλομήτορος γνώμῃ τῶν Ἀλεξανδρέων. διώκεται δὲ καὶ Ἀντίοχος, λυτρωθέντος καὶ τοῦ Φιλομήτορος, καὶ βασιλεύουσιν οἱ δύο ἀπὸ τοῦ ιβ' ἔτους ἕως τοῦ ιζ'. ἐχρημάτισεν οὖν παρὰ Ἀλεξανδρεῦσι τῷ ιβ' τοῦ Φιλομήτορος ἔτει πρῶτον ἔτος τοῦ Εὐεργέτου, καὶ ἐβασίλευσαν οἱ δύο ἐν ὁμονοίᾳ ἀπὸ τούτου τοῦ ιβ' ἔτους τοῦ Φιλομήτορος ἕως τοῦ ιζ' ἔτους αὐτοῦ, ς' δὲ τοῦ Εὐεργέτου. καὶ πάλιν στασιάζουσι κατ' ἀλλήλων, καὶ χρηματίζει ἀπὸ τοῦ ιη' ἔτους μόνου τοῦ Φιλομήτορος ἡ κατ' Αἴγυπτον ἀρχὴ, παραχωρήσαντος τῷ ἀδελφῷ τὴν Λιβύης καὶ Κυρήνης ἀρχὴν μετὰ τὴν ἐν Κύπρῳ μάχην, D καθ' ἣν ἐλαττωθεὶς ὁ νεώτερος Πτολεμαῖος ἀβλαβὴς ἔμεινε, φιλανθρώπως αὐτῷ χρησαμένου τοῦ πρεσβυτέρου καὶ μὴ μόνον τὴν εἰρημένην ἐγχωρήσαντος αὐτῷ χώραν, ἀλλὰ καὶ σίτου πλῆθος λαμβάνειν κατ' ἐνιαυτὸν, τοῦτο μὲν διὰ χρηστότητα καὶ συγγένειαν φυσικὴν, τοῦτο δὲ, ὥς φασι, καὶ διὰ τὸν ἀπὸ τῶν Ῥωμαίων φόβον ὑπερασπιζομένων αὐτοῦ. κρατεῖ γοῦν ὁ αὐτὸς Φιλομήτωρ μετὰ τὸ ιζ' ἔτος ἄλλα ἔτη ιη'. οὗ κατὰ τὴν Συρίαν ἀποθανόντος, ἐγκρατὴς γὰρ καὶ τῶν ἐκεῖσε γέγονε τόπων, με-

1. πρῶτος] πρῶτον G. 12. μόνου] μόνον G. 15. Πτολεμαῖος om. G. 17. ἐγχωρήσαντος αὐτῷ B. αὐτῷ ἐγχωρήσαντος A. αὐτῷ συγχωρήσαντος G.

convenerunt; quae inter scriptores de annis eorum discriminis origo fuit. Primum enim Philometor solus annis undecim regnavit; deinde ab Antiocho bello Aegyptum impetente ac regni diadema auferente eiectus est; Ptolemaeus autem Euergetes Philometoris frater iunior de Alexandrinorum consilio regnum occupat. Philometore liberato, cedere cogitur Antiochus, ac pari consensu regnum uterque moderatur a duodecimo ad annum decimum septimum. In annum igitur Philometoris 12 Euergetis primus apud Alexandrinos incurrisse censendus est; quare concordibus animis alter alteri regni collegam se praebuit a Philometoris 12 ad eiusdem 17, qui sextus fuit Euergetis annus. Discissis iterum animis et fratribus bello civili sese lacessentibus a Philometoris duntaxat 18 annos imperii numerandos decreverunt Aegyptii, cum pugna in Cypro commissa, iunior inferior quidem, illaesus tamen omnino remansit, senior vero Libyae et Cyrenes ditione ei concessa humanitatem in eum exercuit supremam. Regionem enim cui dominaretur non permisit modo, verum etiam annuam frumenti annonam assignavit; quae partim ex innata sibi mansuetudine et necessitudine sanguinis, partim, aiunt nonnulli, ex Romanorum fratris iura tuentium metu praestitit. Philometoris itaque regni mensura, post memoratos 17 annorum est aliorum 18, quibus imperavit. Eo vero in Syria obeunte (Syriae quippe

ταχληθεὶς ἐκ Κυρήνης ὁ Εὐεργέτης λεγόμενος β' κρατεῖ τῆς Αἰγύπτου λοιπὰ ἔτη κθ' μόνος μετὰ θάνατον τοῦ πρεσβυτέρου ἀδελφοῦ, ὡς γίνεσθαι τὸν ἅπαντα χρόνον τῶν ἑκατέρων ἀδελφῶν P. 284 λε' καὶ κθ', ἤτοι ἔτη ξδ'. Διόδωρος δέ φησιν ὅτι ιε' ὁ νεώτερος Πτολεμαῖος ἐβασίλευσε μετὰ τὸν πρεσβύτερον ἀδελφὸν, πολλάς τε παρανομίας διεπράξατο, τήν τε ἰδίαν ἀδελφὴν Κλεοπάτραν γήμας καὶ πολλοὺς περιβαλὼν ψευδῶς, ὡς ἐπιβουλεύοντας αὐτῷ, καὶ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ συκοφαντίαις φυγαδεύων καὶ τὰς οὐσίας αὐτῶν ἀφαιρούμενος.

## Συρίας καὶ Ἀσίας βασιλεῖς.

Συρίας καὶ Ἀσίας δ' ἐβασίλευσεν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, ὁ B ἐπικληθεὶς Καλλίνικος, ὁ αὐτὸς καὶ Σέλευκος, ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσλη'.

Ἐν τούτου τοῦ Ἀντιόχου Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτίστου διὰ τοιαύτην αἰτίαν. Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοὶ τὸ γένος ἕλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. C ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φησιν, ἑνὸς τῶν ἀδελφῶν, καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι διαμαρτήσας ἀνῃρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ,

7. περιβαλὼν B. περιβάλλων G. 8. ἀναιροῦν A. 11. Ἀντίοχος] ὁ Ἀντίοχος G. 19. ὃς Scaliger p. 68. ὡς AB. omisit G. τηριδάτου B. Τηριδάτῃ G. ἀρριανὸς B. Ἀριανὸς G.

loca plurima tenebat subiecta), Euergetes nominis secundus Cyrene advocatus, Aegypti regno solus potitur a fratris morte annis 19, adeo ut temporis ab utroque fratris in regno exacti summa sit 35 et 29, hoc est annorum omnino 64. Post senioris mortem Ptolemaei fratris iunioris regnum annorum fuisse 15 Diodorus narrat; vitam etiam sceleribus conspurcasse, adeo ut sororem propriam delegerit uxorem et insidiarum sibi structarum nomine plurimos implicuerit, et hos quidem caedibus, alios exsilio, alios facultatum publicatione falso et ex mera calumnia multaverit.

## Syriae et Asiae reges.

Syriae et Asiae rex 4 Antiochus, Antiochi Dei filius, cognomento Callinicus, idemque Seleucus, annis 21, mundi vero 5238.

Huius Antiochi tempore Persae ab Alexandri conditoris imperio Macedonibus et Antiochis subiecti, ab eis ex causa huiusmodi defecerunt. Arsaces et Teridates fratres generis originem in Artaxerxem Persarum quondam principem referentes satraparum munus in Bactros exercebant, circa Macedonis Agathoclis Persiae praefecturam administrantis tempestatem. Agathocles, scribit Arianus, fratrum alteri, Teridate nimirum carus, iuveni struebat insidias, a quibus aberrans ab eo et pariter a fratre Arsace morti tradi-

καὶ βασιλεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη β', καὶ ἀναιρεῖται, καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφὸς ἔτη λζ'.

Συρίας ε' ἐβασίλευσε Σέλευκος ὁ καὶ Ἀλέξανδρος, υἱὸς Σελεύκου τοῦ Καλλινίκου, ὁ Κεραυνὸς ἐπικληθεὶς, ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσνθ'.

D V. 227 Συρίας ς' ἐβασίλευσεν Ἀντίοχος ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἐπικληθεὶς μέγας, ἔτη λς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσξβ'.

Οὗτος ὁ κληθεὶς μέγας Ἀντίοχος κατὰ μὲν τινὰς ἀδελφός ἐστι Σελεύκου τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος Κεραυνοῦ, κατὰ δὲ ἑτέρους υἱὸς αὐτοῦ. ἀρχὴν δὲ ἔλαβεν ἡ αὐτοῦ βασιλεία κατὰ τὴν ρλζ' ὀλυμπιάδα, καὶ οὐχ ὡς Εὐσεβίῳ δοκεῖ κατὰ τὴν ρλθ'.

Κατὰ τοὺς αὐτοὺς χρόνους Ἀντίοχος Ῥωμαίοις πολεμεῖν ὁ μέγας ἤρξατο Ἀννίβα κατὰ τὰς Σπανίας καὶ τὴν Καρχηδόνα στρατηγοῦντος καὶ ὑπὸ Ῥωμαίων καταπολεμουμένου καὶ πολεμοῦντος πρὸ τῆς εἰς Βιθυνίαν φυγῆς πρὸς Προυσίαν. καὶ πρῶτον P. 285 μὲν ἐν Θερμοπύλαις τῆς Ἑλλάδος Ῥωμαίοις συμβαλὼν ὁ αὐτὸς μέγας Ἀντίοχος ἡττᾶται. ἔπειτα δὲ συλλέξας στρατόπεδα καὶ Ἀννίβαν τὸν Καρχηδόνιον ἐκ Βιθυνίας προσλαβόμενος, πρὸς Θυατείροις πόλει τῆς Λυδίας αὖθις Ῥωμαίοις πολεμεῖ, Σκιπίωνος Ἀφρικανοῦ σὺν ἀδελφῷ Σκιπίωνι στρατηγοῦντος. καὶ οὗτος ἡττᾶται,

5. ἐπεκλήθη G. 10. Σελεύκου] τοῦ Σελεύκου G. 14. ἀννηβᾶ B. 17. ὁ Μέγας αὐτὸς G. 18. Ἀννίβαν] ἀννηβᾶν B per totam paginam 285. 19. Θυατείρων πόλιν G. 20. Σκιπίωνος] Σκηπίωνος vulgo hic et infra.

tur; ita Persarum regnum arripit Arsaces, a quo deinceps Persarum principes Arsacidae nuncupati, eoque duos annos potitus occiditur, cui Teridates successit annis 37.

Syriae rex 5 Seleucus, qui Alexander et Ceraunus, id est Fulmen, dictus, Seleuci Callinici filius, annis 3, mundi vero 5259.

Syriae rex 6 Antiochus eius frater, cognomine Magnus, annis 36, mundi vero 5262.

Antiochus iste Magni nomen promeritus, frater, ut nonnullis placet, Seleuci, eius qui praecessit in regno, Cerauni; ut alii vero sentiunt eius filius, circa Olympiadem 137, non ut Eusebio videtur, 139, imperium auspicatus est.

Sub istud tempus arma in Romanos movere Magnus Antiochus exorsus est, quo nimirum Annibal cum in Hispania, tum Carthagine Romanis iisdem oppositas copias agens non infrequenter superatus, ac nonnunquam victor superesset, priusquam Prussiam Bithyniae civitatem fuga se reciperet. Ac primo quidem praelio Magnus hic Antiochus Thermopylis Graecis, Romanis congressus inferior recedit; reparata deinde acie et Annibale Carthaginensium duce e Bithynia advocato, ad Thyatira Lydiae civitatem secundum cum Romanis certamen init, quo Africano Scipione et altero fratre



ὥστε αὐτὸν ὑπόσπονδον γενέσθαι Ῥωμαίοις τελοῦντα χίλια τάλαντα καὶ τριήρεις πολλὰς δόντα καὶ τὴν δαπάνην τοῦ πολέμου. Ἀννίβας δὲ πρὸς Προυσίαν φυγὼν αὖθις ἀπὸ Θυατείρων φαρμάκῳ τελευτᾷ τὸν βίον τῷ φόβῳ Ῥωμαίων.

Ἐπὶ τούτου ἐπράχθη τὰ κατὰ τὴν πρώτην τῶν Μακκαβαίων βίβλον παρὰ Ἰουδαίοις ἱστορούμενα.

Ἔτι δὲ καὶ ὁ πρὸς Καρχηδονίους δεύτερος πόλεμος κινεῖται, B κρατήσας καὶ αὐτὸς ἔτη ιθ' Ῥωμαίοις. Ἀννίβας γὰρ Καρχηδονίων στρατηγὸς νέος τῷ φρονήματι καὶ τῇ ἡλικίᾳ Σπανίαν κατέσχεν οὖσαν ὑπὸ Ῥωμαίους, καὶ τῇ Ἰταλίᾳ αὐτῇ ἐπῆλθε συμμαχούντων αὐτῷ Γάλλων καὶ ἄλλων πολλῶν βαρβάρων. πρῶτοι οὖν αὐτῷ Κορνήλιος Σκιπίων καὶ Σεμπρώνιος Γράκχος ὕπατοι πολεμοῦσιν, οἳ καὶ φυγόντες μόλις διασῴζονται τοῦ κινδύνου. μεθ' οὓς Λούκιος Φλαμίνιος πολεμήσας αὐτῷ μετὰ τῆς δυνάμεως διεφθάρη. τρίτος πρὸς αὐτὸν ἀγωνίζεται Φάβιος Μάξιμος ἀνὴρ στρατηγικὸς ὑπατεύων καὶ τρέπει τὸν Ἀννίβαν στρατηγίᾳ μᾶλλον, οὐ δυνάμει κρατήσας. C

Τότε καὶ Ἀρχιμήδης γεωμέτρης τοῖς μηχανήμασι Ῥωμαίους ἀπώσατο πολλάκις πολιορκοῦντας Συρακούσας, οἰκῶν ἐν αὐταῖς. ἔνθα καὶ ἀναιρεῖται ὑπό τινος στρατιώτου τῆς πόλεως ἔργῳ ληφθείσης, ἑορταζόντων Συρακουσίων, παρὰ γνώμην

3. Προυσίαν] Περσίαν G. θυατήρων B, qui supra θυατήροις. 14. Φλαμίνιος Scaliger p. 69. Vulgo Φαλαμήνιος. δυνάμεως] δυνάμενος B. 16. ὑπατεύων om. G. 17. οὐ] ἢ m. 18. ῥωμαίους B. Ῥωμαίοις G. 19. συρρακούσας A. 21. συρακουσίων B. Συῤῥακουσίων G.

Scipione ducibus adversum Martem expertus vincitur; adeo ut foederatum se devinciret, talentisque mille annuatim pensis triremes plurimas bellique sumptus exhiberet. Annibal autem iterata fuga Thyatiris secedens fugit Prusiam Ponti, Romanorumque metu vitam sibi veneno praeripuit.

Huius Antiochi aetate quae libro Maccabaeorum primo narrantur ab Iudaeis sunt gesta.

Alterum in Carthaginenses a Romanis movetur bellum annorum 19 spatio. Annibal enim Carthaginensium dux iuvenis viribus et animo pollens Hispaniam Romanis prius subditam occupavit, et Gallis barbarisque plurimis nationibus adscitis ipsam quoque Italiam armis invadere molitus est. Primi consules cum eo manus conserturi Cornelius Scipio et Sempronius Gracchus destinati, qui fugam passi vix periculo mortis evadunt; post eum Lucius Flaminius cum Romanorum acie tota profligatur. Tertius adversus eos certat Fabius Maximus, vir militiae peritissimus, qui arte potius et prudentia quam viribus frangit Annibalem.

Sub id tempus Archimedes clarus geometra Romanos Syracusas obsidione prementes machinis fabricatis urbe cuius erat inquilinus arcuit. Syracusiis autem festivitate explenda occupatis, urbe inopinato capta, a mi-

Μαρκέλλου στρατηγοῦ Ῥωμαίων, ὃς ὑπὸ Ῥωμαίους αὖθις τὴν Σικελίαν θεὶς ἐπινίκιον πομπὴν ἐθριάμβευσε.

Πολλῶν δὲ ἄλλων Ῥωμαίων στρατηγῶν μετὰ ταῦτα πολεμησάντων Ἀννίβᾳ κρατοῦντι Καρχηδόνος καὶ Ἱσπανίας καὶ μὴ κατισχυσάντων αὐτοῦ τέλος Σκιπίων Ἀφρικανὸς τρέψας τὴν Ἀννίβα
D δύναμιν ἐν Ἱσπανίᾳ κατὰ τὴν ρμέ ὀλυμπιάδα ὑπατεύσας τε καὶ κατ' ἐξουσίαν λοιπὸν διοικῶν τὴν ὅλην Ἰταλίαν ἐπὶ Καρχηδόνα διέπλει στόλῳ μεγάλῳ καὶ τὴν ἅπασαν πορθεῖ πρὸς τῇ Λιβύῃ χώραν Καρχηδονίων, ὥστε τοὺς ἐν τέλει Καρχηδονίους μεταστείλασθαι τὸν Ἀννίβαν ἐξ Ἰταλίας· ᾧτινι Σκιπίων συγκρούσας ἐπανιόντι πρὸς τῇ Καρχηδόνι κρατεῖ τῆς μάχης τοσοῦτον ὥστε φυγεῖν τὸν Ἀννίβαν καὶ πρὸς τὸν Βιθυνίας ἐλθεῖν βασιλέα
V. 228 εἰς Προυσίαν αἰδούμενον Καρχηδονίους. τότε καὶ Καρχηδόνα Ῥωμαίοις ὁ αὐτὸς Ἀφρικανὸς Σκιπίων ἐπικληθεὶς ὑπὸ τῆς συγκλή-
P. 286 του βουλῆς διὰ τὸ τηλικοῦτον κατόρθωμα παρεστήσατο καὶ θρίαμβον ἐν Ῥώμῃ κατήγαγε.

Συρίας ζ' ἐβασίλευσε Σέλευκος τρίτος υἱὸς αὐτοῦ ἔτη ιβ'. οὗτος καὶ Φιλοπάτωρ ἐλέγετο. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσλη'.

Συρίας η' ἐβασίλευσεν Ἀντίοχος ὁ Ἐπιφανὴς ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετι'.

Ἀντίοχος ὁ Ἐπιφανὴς Συρίας βασιλεύων πρῶτον μὲν Πτολε-

1. ὃς ὑπὸ Ῥωμαίους addidi ex B. 4. ἰσπανίας B. Σπανίας G. 7. λοιπὸν B. λαβὼν καὶ G. 8. Vulgo Λιβύϊ. 10. συγκρούσας Σκηπίων G. 12. πρὸς τὸν τῆς G. 17. ἐβασίλευσε] βασιλεὺς G.

lite quodam praeter Marcelli Romanorum ducis mentem interficitur. Sicilia debellata, victoriae insignia Marcellus assumpsit et Romae triumphum egit.

Romanorum autem ducibus plurimis cum Annibale tum Carthagine, tum in Hispaniis potestatem exercente praeliantibus, nec, ut eum attererent, assecutis, demum Scipio Africanus consul assumptus rerum summa sibi tradita, et circa Olympiadem 145 totam Italiam gubernans, cum classe maxima Carthaginem petit, et Libyae oris quaqua versus ferro devastatis Carthaginensium magistratus ut Annibalem ex Italia revocarent, coegit. Cum eo Carthaginem reverso congressus Scipio tali victoria superior effectus est, ut fuga se damnaret Annibal ipse et Carthaginensium adspectum veritus Prusiam ad Bithyniae regem se conferret. Scipio tandem ab Africa devicta Africanus ex senatus consulto dictus Carthaginem Romanae ditioni adiecit et rebus adeo feliciter gestis Romae triumphum obtinuit.

Syriae rex 7 Seleucus tertius, Seleuci maioris filius, qui et Philopator vocatus, annis 12, mundi vero 5298.

Syriae rex 8 Antiochus Illustris annis 11, mundi vero 5310.

Antiochus Illustris ad Syriae thronum evectus, Ptolemaeum Philopato-



μαίῳ τῷ Φιλομήτορι ἐπιτίθεται κατὰ τὴν Αἴγυπτον καὶ τῆς Αἰγύπτου βασιλείας ἐκβάλλει πρὸς βραχύ. κωλυθεὶς δὲ ὑπὸ Ῥωμαίων καὶ ὑπὸ τῶν Ἀλεξανδρέων διωχθεὶς τὴν Ἱερουσαλὴμ ἐκπορθεῖ καὶ B
τὸν ναὸν βεβηλοῖ Διὸς Ὀλυμπίου βδέλυγμα ἀναστηλώσας ἐν αὐτῷ, κατὰ τὴν προφητείαν Δανιὴλ τοῦ μεγάλου, τά τε ἱερὰ σκεύη ἀφαιρεῖται καὶ ἑλληνίζειν ἀναγκάζει τοὺς Ἰουδαίους. ἐφ' οἷς Ματθίας ὁ ἱερεὺς ζηλώσας σὺν τοῖς υἱοῖς Ἰούδα καὶ Ἰωνάθῃ τοῖς Μακκαβαίοις Σίμωνί τε καὶ Ἰωάννῃ κατηγωνίσαντο τοῦ τυράννου τοῖς αὐτοῦ στρατηγοῖς ἐπιθέμενος, καὶ καταπολεμήσας αὐτοὺς τῇ τῶν οἰκείων παίδων ἀντιμαχίᾳ, τῶν καὶ διὰ τοῦτο Μακκαβαίων κληθέντων, ἅμα τοῖς τότε ζήλῳ θείῳ τῶν πατρίων νόμων ὑπεραθλησάντων· ἐν οἷς καὶ οἱ ἑπτὰ νέοι σφόδρα γενναίως σὺν τῇ C
μητρὶ καὶ τῷ διδασκάλῳ Ἐλεαζάρῳ πολλῶν καὶ πικρῶν βασάνων ὑπερφρονήσαντες νομίμως τὸν βίον κατέλυσαν, θανάτῳ μαρτυρικῷ τελειωθέντες. Ἀσαμωναῖοι λέγονται οἱ ἐκ Ματαθίου, διότι ὁ πατὴρ αὐτῶν Ἀσαμωναῖος ἐλέγετο. ᾤκει δὲ ἐν κώμῃ Μωδεείμ.

Ταρσεῖς καὶ Μαλλῶται κατὰ Ἀντιόχου ἐστασίασαν, ὡς δωρεᾷ διδόμενοι τῇ παλλακῇ αὐτοῦ Ἀντιοχίδι· πρὸς οὓς ἧκεν Ἀντίοχος, Ἀνδρόνικον καταλείψας ἐν Δάφνῃ ἐπὶ τῶν πραγμάτων, ὃς ἀνελὼν Ὀνείαν τὸν ἱερέα δόλῳ τοῦ Μενελάου, καὶ αὐτὸς ἀναιρεῖται ὑπὸ τοῦ Ἀντιόχου ὡς φονεύς.

1. Φιλοπάτορι G. 2. κωλυθεὶς] καταλυθεὶς G. 8. κατηγωνίσατο G. 9. αὐτοὺς] αὐτοῖς A. 15. Ματαθίου] ματαθείου B. Ματθίου G. Vide Eusebium p. 356. 18. μαλῶται AB.

rem armis confestim in Aegypto lacessit et Aegypti regno ad breve tempus deturbat. A Romanis vero prostratus et ab Alexandrinis eiectus Hierusalem depopulatur, et iuxta Danielis vaticinium simulacro Iovi Olympio posito templum violat, sacra vasa diripit et Iudaeos prohibitum Graecorum cultum immitari cogit. At sacerdos Matthias divino zelo succensus cum filiis Iuda et Ionatha, Maccabaeis et Simone et Ioanne tyranni se ceptis viriliter opposuit, duces eius armis aggressus est, filiorumque eius rei causa Maccabaeorum nomine insignitorum adversis viribus et eorum qui pro patriis legibus divina pietate certamen adierunt animis adiutus hostes ubique prostravit. Ex iis iuvenes septem cum matre et magistro Eleazaro contempta tormentorum plurimorum acerbitate, morte martyrum nomine digno consummati, vitam ex legum norma finierunt. Matthiae posteri Assamonaei dicti sunt, quod pater eorum Assamonaeus nomine in oppido Modin diversaretur.

Tarsenses et Mallotae, quod Antiochidi pellici donatos se viderent conquesti, adversus Antiochum tumultuantur; in quos Andronico, (qui postmodum Menelai dolis pontificem Oniam occidit et parricidii reus ab Antiocho ipse damnatus est), Daphne regendis rebus relicto, Antiochus iniuriam ulturus profectus est.

D Συρίας θ' ἐβασίλευσεν Ἀντίοχος Εὐπάτωρ υἱὸς αὐτοῦ ἔτος ἕν, μῆνας ἕξ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετκα'.

Ἀντίοχος οὗτος πατάξας Αἴγυπτον καὶ πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον πολεμήσας εἰς τὴν Ἰουδαίαν ἐπανῆλθε, τὴν ἀρχιερωσύνην τε Ἰησοῦ, τῷ καὶ Ἰάσωνι, ἐνεχείρισεν ἀδελφῷ Ὀνείου. καὶ πάλιν ἐκβαλὼν αὐτὸν ἀδελφῷ τε καὶ Μενελάῳ δέδωκεν. οἱ δὲ στασιάσαντες πρὸς ἀλλήλους κακῶν μεγάλων αἴτιοι γεγόνασιν Ἰουδαίοις.

P. 287

## ΚΟΣΜΟΥ ΕΤΗ.

Ἰουδαίων ις' ἀρχιεράτευσεν Ἰούδας υἱὸς Ματαθίου α' ἀρχιερέως ἔτη γ', οἱ δὲ ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετλδ'.

Τινὲς ἱστοροῦσι Ματαθίου ἔτη γ' τῆς ἀρχιερωσύνης καὶ Ἰούδα ἔτη ς'.

V. 229 Ἰουδαίων ιζ' ἀρχιεράτευσεν Ἰωνάθης ἀδελφὸς Ἰούδα τοῦ Μακκαβαίου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετμ'.

B Οἱ φίλοι τοῦ Ἰούδα τὸν Ἰωνάθην ἀδελφὸν αὐτοῦ προεστήσαντο ἄρχειν αὐτῶν. οὗτος Βακχίδῃ συμβαλὼν εἰς πόλεμον διέφθειρε τρισχιλίους τῶν σὺν αὐτῷ. μετὰ δὲ ταῦτα προδιδόντας αὐτόν τινας τῶν Ἰουδαίων αἰσθόμενος τῷ Βακχίδῃ ἀνεῖλεν αὐτοὺς καὶ διῆγεν εἰς πόλιν ἐν τῇ ἐρήμῳ κειμένην Βηθφεσῄ. ταύτην

5. τε] τῷ G. 10 et 12. ματαθίου B. Ματθίου G. 20. εἰς πόλιν — κειμένην] ἐν πόλει — κειμένῃ G. βηθφεσὴ A. βιθφεσὴ B. Βηθφεσῆ G.

Syriae rex 9 Antiochus Eupator, Epiphanis filius, anno uno et mensibus sex, mundi vero 5321.

Antiochus iste bellis Aegyptum vexavit, et praelio cum Ptolemaeo Philometore commisso in Iudaeam rediit et Iesu, alio nomine Iasoni Oniae fratri, pontificatum tradidit; eoque rursus dignitate pulso, in fratrem et in Menelaum pontificias infulas transtulit. Illi dissidiis, quibus ad invicem certabant, Iudaeis ingentium malorum auctores se praebuere.

## ANNI MUNDI.

Iudaeorum pontifex 16 Iudas, Matthiae pontificis primi filius, annis 3, et ut scribunt alii, 6, mundi vero 5334.

Matthiae pontificatum triennio nonnulli metiuntur, Iudae vero annos sex assignant.

Iudaeorum pontifex 17 Ionathas frater Iudae Maccabaei annis 19, mundi vero 5340.

Amici Iudae Ionatham eius fratrem sibi ducem constituerunt. Hic cum Bacchide commissa pugna militum eius 3000 prostravit. Iudaeorum vero quosdam dolis eum Bacchidis manibus prodere volentium animos praesentiens, cunctos interemit; et in oppido Betphese ad desertum sito sibi



ἐπολιόρκησε Βακχίδης. Ἰωνάθης δὲ ὑπεξελθὼν καὶ πολλοὺς διαφθείρας ἀπελαύνει αὐτόν.

Ἄλκιμος ὁ ἀνίερος καθελὼν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων δίκας ἔδωκε πικρῶς θανών.

Βακχίδης φοβηθεὶς Ἰωνάθην φιλοῦται αὐτῷ, κἀκ τούτου προΐσταται τοῦ λαοῦ Ἰωνάθης.

Ἀλέξανδρος ὁ τοῦ Βαλλᾶ υἱὸς Ἀντιόχου τοῦ Ἐπιφανοῦς Δη- C μήτριον τὸν Σελεύκου καθελὼν ἐβασίλευσεν ἔτη ε', οἱ δὲ θ'. οὗτος ἐν Πτολεμαΐδι φιλωθεὶς Ἰωνάθῃ δώροις καὶ στεφάνοις ἐτίμησεν.

Ἰουδαίων ιη' ἱεράτευσε Σίμων ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετνθ'.

Σίμων καὶ Ἰουδαῖοι Δημητρίῳ προσφυγόντες εἰρήνευον. ἐξ οὗ δὴ Σίμων ἀρχιεράτευσε, Γάζαν τε πολέμῳ εἷλε, τούς τε ἐν τῇ ἄκρᾳ τῆς Ἱερουσαλὴμ μετὰ Δημήτριον.

Ἀντίοχος ὁ Σιδήτης Σίμωνι φιλοῦται. D

Ἀντίοχος ὁ Σιδήτης Ἰόππην καὶ ἀργυρίου τάλαντα χίλια ἀπῄτει Ἰουδαίους. τῶν δὲ μὴ ὑπακουόντων Κενδέβαιον ἐπέταξε πολεμεῖν αὐτοῖς, ὃν Ἰωνάθης υἱὸς Σίμωνος ἐτροπώσατο.

Σίμων Ἰουδαίων ἀρχιερεὺς ἀδελφὸς Ἰούδα καὶ Ἰωνάθου τοῦ

3. καθελὼν] καθερῶν A. καθαιρῶν B. 4. πικρῶς] πικρὰς G. 7. βαλὰ B. Ἀντιόχου] τοῦ Ἀντιόχου G. 8. Σελεύκου] Σέλευκον G. 16. Ἀντίοχος om. B. Vulgo Σιδίτης hic et infra. 17. Vulgo Ἰώππην. 18. κενδέβαιον B. κενδαῖον A. Καδαῖον G.

moram elegit; quem obsidione Bacchides includit; verum Ionathas latenter erumpens eius acie fusa, obsidione cedere coegit.

Sacrilegus Alcimus everso sanctorum atrii muro, diras morte poenas exsolvit.

Bacchides Ionathae vires extimescens, amicum sibi reddere parat; exinde supremam in populum potestatem Ionathas consequitur.

Alexander Balae Illustris Antiochi filius Demetrio, Seleuco etiam dicto, sublato, regnum obtinet annis quinque et ex aliorum computo novem. Hic Ionatham Ptolemaide sibi reconciliatum donis et coronis ornat.

Iudaeorum pontifex 18 Simon annis 8, mundi vero 5359.

Simon et Iudaei Demetrium convenientes pacem cum eo componunt. Exinde Simon obtinet pontificatum, Gazam bello capit et eos qui Hierosolymorum in arce relicti fuerant a Demetrio eiecit.

Antiochus Sidites Simoni redditur amicus.

Antiochus Sidites Ioppen et argenti talenta mille ab Iudaeis expetit. Illis pecunias nondum parantibus Cendebaeum vim et bellum inferre iussit, quem Ionathas Simonis filius in fugam vertit.

Simon Iudaeorum pontifex maximus Iudae et Ionathae Maccabaeorum

Μακκαβαίων ἀναιρεῖται ὑπὸ Πτολεμαίου τινὸς Ἰουδαίου στρατηγοῦ τῆς Ἱεριχὼ καὶ γαμβροῦ αὐτοῦ δόλῳ.

Οὗτος ὁ Σίμων μετὰ ρο' ἔτη τοὺς Ἰουδαίους ἠλευθέρωσε τῶν φόρων. ἐτέλουν γὰρ ἀπὸ τοῦ πρώτου Σελεύκου.

P. 288 Ἡγήσατο τῶν Ἰουδαίων Ματθίας ὁ πατὴρ τῶν Μακκαβαίων ἔτη γ'. Ἰούδας υἱὸς αὐτοῦ ἔτη ς'. Ἰωνάθης ἔτη ιθ'. Σίμων ἔτη η'. ὁμοῦ ἔτη λδ'.

Καὶ σπένδεται Ῥωμαίοις Ἰούδας.

### Περὶ τῶν Μακκαβαίων.

Ἐντεῦθεν λοιπὸν τῆς Ἰουδαίων συμμαχίας Ὑρκανὸς ἀφαιρεθεὶς ἅμα τῷ Ἀντιπάτρῳ τὴν Δαμασκὸν καταλαμβάνει, πρὸς Μάγνον Πομπήιον τὸν τηνικαῦτα καταλαβόντα ἐξ Ἀρμενίας τὴν Συρίαν μετὰ τῆς πολυθρυλήτου ἀριστείας κατὰ Μιθριδάτου καὶ Τιγράνου Ἀλβανίας τε καὶ Ἰβηρίας καὶ Κολχίδος καὶ αὐτῶν Ἀσσυρίων, καὶ δώρων χωρὶς μόναις εὐλόγοις δικαιολογίαις πείθουσι τὸν Μάγνον ἀληθῶς καὶ φιλαλήθη Πομπήιον ἐπινεῦσαι C
τῇ Ὑρκανοῦ βοηθείᾳ. Ἀριστόβουλος δὲ καὶ αὐτὸς ἐλθὼν ταῖς εἰς Σκαῦρον ἐλπίσι διαμαρτάνει μὲν τῆς εὐμενείας Πομπηίου ἐρχομένου πρὸς τὰ Ἱεροσόλυμα καὶ τὴν Παλαιστίνην, ἐκ Διοσπόλεως δὲ λάθρα χωρισθεὶς ἐπαχθέστερον ἑαυτῷ καθίστησιν ἐξ ἀνοίας τὸν Πομπήιον. ἀγανακτήσας γὰρ τὴν Ῥωμαϊκὴν καὶ Συριακὴν ἐπαναλαμβάνει δύναμιν, ἀκούσας αὐτὸν καὶ τὴν Ἀλεξάνδρειαν προκατειληφότα τὸ ὀχύρωμα τὸ ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον φρούριον, ἐλθεῖν τε κελεύει, καίπερ μὴ βουλόμενον. τὸ δ' ἀνύποιστον τοῦ κράτους φοβούμενον καὶ τὸ πλῆθος ὀρρωδοῦν ὁρῶντα τῇ συμβουλῇ τε τῶν φίλων εἴκοντα κατελθεῖν καὶ περὶ D
τῆς ἀρχῆς δικαιολογηθέντα πάλιν ἐπανελθεῖν εἰς τὸ ἔρυμα κατηνάγκασε. καὶ δὴ τούτου πραχθέντος οὐχ ἅπαξ ἢ δὶς καὶ Ὑρκανοῦ διενεχθέντος πρὸς αὐτὸν ἐπὶ τοῦ Πομπηίου ὡς ἠδικηκότος αὐτὸν καὶ τὴν ἀρχὴν πλεονεκτήσαντος προστάττεται τῶν φρουρίων Ἀριστόβουλος ἐξίστασθαι. τῶν φρουραρχῶν δ' αὐτὸν μὴ

4. Vulgo πολυθρυλλήτου. Vulgo Μηθριδάτου. 5. Κολχίδος] Χαλκίδος G. 6. μόναις δὲ G. 9. εἰς κοῦρον A. εἰς σκοῦρον B. διαμαρτάνει B. διαμαρτάνῃ G. 11. δὲ] καὶ G. 12. τὴν] τοῦ G. 13. Ἀλεξάνδρειον G cum Iosepho p. 687. Conf. infra p. 300 a. 15. φρούρειον B et infra φρουρείων. 18. κατηνάγκασαν G. 20. ὡς] μὴ G. 22. δ'] δι' B.

Iudaeorum deinceps orbus auxiliis Hyrcanus Pompeium Magnum post victoriam de Mithridate et Tigrane, nec non Albania, Iberia, Chalcide et ipsis Assyriis omnium laudibus celebratam ex Armenia in Syriam eo tempore regressum solus cum Antipatro Damascum convenit. Nullis itaque munerum illecebris, sed solis aequi bonique argumentis Magnum vere et veritatis amantem Pompeium, ut Hyrcano succurrat, inclinant. Scauro fidens Aristobulus Pompeio se sistit pariter; eius tamen humanitate, (cum Diospoli digressus Hierosolymam versus et Palaestinam accederet), minus prudenter usus clam fuga se subripit et magis aversum ex amentia reddit Pompeium. Quare commotus Pompeius collectis Romanorum Syriaeque viribus, arcem in montis vertice sitam, cui nomen Alexandrium, occupasse audiens, etiam invitum ad se iubet venire. Ille adversariorum robur immensum veritus, et copias undequaque affluentes conspicatus paret amicorum consilio et disceptata de regno causa, in arcem se recipere compellitur. His non semel aut bis, sed actitatis frequentius et Hyrcano causam apud Pompeium in fratrem dicente et iniuriam non intulisse, sed regnum repetere se perorante, loca quaeque munita deserere Aristobulus iubetur.

καταδεχομένων καταλαμβάνει τε τὰ Ἱεροσόλυμα καὶ πόλεμον ἐξάγειν πειρᾶται κατὰ Ῥωμαίων στρατοπεδευόντων εἰς Ἱεριχοῦντα, τὸ πιότατον Ἰουδαίας φοινικοφόρον καὶ βαλσαμοφόρον χωρίον· ὧν Ἀριστόβουλος ἐκπλαγεὶς τὴν ἔφοδον χρήμασιν ἱκετείᾳ P. 298 ἐξιλεώσασθαι τὸν Πομπήιον ἐπειγόμενον εἰς Ἱεροσόλυμα. Γαβινίου δὲ πρὸς τοῦ Ἀριστοβούλου πεμφθέντος εἰς κομιδὴν τῶν χρημάτων καὶ μηδὲ τῆς εἰσόδου τυχόντος τῆς πόλεως φρουρεῖ μὲν τὸν Ἀριστόβουλον, πολιορκεῖ δὲ τὴν Ἱερουσαλὴμ ταῖς Ὑρκανοῦ καὶ Ἀντιπάτρου καὶ τῶν περὶ αὐτοὺς ἔνδον καὶ ἔξω τῆς πόλεως ὑπηρεσίαις καὶ ἐπινοίαις οὐ μικρὰ πρὸς τὸ δυσάλωτον αὐτοῖς βοηθούμενος ὁ Πομπηίου στρατηγὸς Πείσων τὴν ἅλωσιν ἐγχειρισθείς. μηνὶ δὲ τρίτῳ μόλις ἕνα τῶν πύργων καθελόντες Ῥωμαῖοι B διὰ τοῦ τείχους εἰς τὸ ἱερὸν εἰσεπήδησαν, Φαύστου Κορνηλίου παιδὸς Σύλλα πρώτου τολμήσαντος, ἐπακολουθησάντων δὲ Φουρίου καὶ Φαβίου τῶν ἑκατοντάρχων σὺν τοῖς οἰκείοις στέφεσιν, οἳ τοὺς Ἰουδαίους περιεῖχον κτείνοντες καθ᾽ ὅλης τῆς πόλεως, τὸ πλεῖστον δὲ ἐν τῷ ἱερῷ φεύγοντας· ἀλλὰ καὶ ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀπεσφάττοντο πολλοί. τότε μυρίους πρὸς δισχιλίους Ἰουδαίους λέγεται πεφονεῦσθαι Ῥωμαίοις, ὀλίγων πάνυ κτανθέντων αὐτοῖς ἐξ εὐτάκτου καὶ ἀλληλοσυμμάχου ἀνδρείας· τὸ γὰρ ἄτακτον ἐν μάχαις θράσους, οὐκ ἀνδρείας

1. καταλαμβάνει] καταλιμπάνει G. 3. πιότατον] πιώτατον AB. πρώτατον G. 4. χρήμασιν] σχήμασιν G. 7. μηδὲ] μὴ G. 9. περὶ] παρ᾽ G. 10. αὐτοῖς om. G. 14. συλλᾶ AB. ἐπακολουθήσαντος G.

Exinde castrorum custodibus eum admittere detrectantibus, ipsis Hierosolymis cedit, et in Romanos ad Hierichuntis palmarum balsamique ex omni Iudaea feracissimum agrum castra metatos bellum instruere meditatur; eorum tamen vires metuens experiri Pompeium Hierosolyma versus exercitum ducentem supplicis habitu placare festinat. Gabinius autem pecuniarum accipiendarum gratia ab Aristobulo missus et ab ingressu civitatis prohibitus, Aristobulum quidem sub custodia detinet; Piso vero dux exercitui a Pompeio datus urbem obsidione cingit et Hyrcani, nec non Antipatri, tum eorum, qui tam ipsius urbis in penetralibus, quam in castris penes se manu vel consilio belli successum promovebant, auxiliis, eam licet expugnatu difficillimam Romanis subiiciendam suscepit. Mense porro tertio vix una turri machinis deiecta, per murum Romani insilierunt in templum. Primus per ruinas Cornelius Faustus Syllae filius immisit se, quem Furius et Fabius centuriones cum suis manipulis sequuti sunt. Hi obvios quosque et interclusos per civitatem Iudaeos, ut plurimum autem in templum recipientes se conficiebant; non pauci licet a propriis contribulibus caede et tumultu gaudentibus fuerint necati. Millia duo supra myriadem integram die illo caesa dicuntur, e Romanis ex usitato sibi ordine et militis commilitonem servandi studio paucissimi. Confusa quippe in praelium irruptio temerita-



ἔργον, ὡς ἥττης πρόξενον τοῖς ἀσυμφράκτως προπετοῦσι. Πομ- C πήιος οὖν ἁλούσης τῆς πόλεως εἰς τὸ ἱερὸν ἅμα τοῖς φίλοις εἰσελθὼν μέχρι τοῦ ἁγιάσματος οὐδενὸς τῶν ἱερῶν ἥψατο σκευῶν ἢ χρημάτων ὄντων προδήλων ταλάντων δισχιλίων, ἐκτὸς ἀρω- V. 238 μάτων λυχνίας τε καὶ λύχνου καὶ σπονδείων καὶ θυμιατηρίων ἁπάντων ὁλοχρύσων, ἀλλὰ καὶ καθαρθῆναι τῶν αἱμάτων τὸ ἱερὸν ἐπέταξε τοῖς νεωκόροις, τῇ ἐπαύριον ἀναδείξας Ὑρκανὸν ἀρχιερέα, τὸν δ᾽ Ἀριστόβουλον δεσμήσας εἶχε σὺν τῷ πενθερῷ, πάντας ἀνελὼν σιδήρῳ τοὺς τῆς μάχης αἰτίους καὶ λαμπροῖς ἀμειψάμενος τοῖς συμμαχήσασι δώροις, Φαύστῳ μάλιστα Σύλ- D λου παιδὶ γενναίῳ καὶ τοῖς ἀμφ᾽ αὐτόν. οὗτος Ἰουδαίους ὑποφόρους Ῥωμαίοις κατέστησεν, ἀφελόμενος αὐτῶν πάσας πόλεις Ἑλληνίδας Συρίας κοίλης, ἃς εἶλον ἐπὶ τῶν Μακκαβαίων, καὶ μόνοις περικλείσας τοῖς ἰδίοις ὅροις. πρὸς ταύταις καὶ τὰς ἐν τῷ μεσογείῳ πόλεις ἠλευθέρωσε τῆς Ἰουδαίων ἀρχῆς, ὧν ἦσαν ἐπισημότεραι αὗται, Σκυθόπολις ἤτοι Βασὰν, Ἵππος, Πέλλα, Σαμάρεια, Μάρισσα, Ἄζωτος, Ἰάμνεια, Ἀρέθουσα, τάς τε παραλίους Γάζαν, Ἰόππην, Δῶρα, Στράτωνος πύργον ἤτοι Καισάρειαν, ταύτας ἀποδοὺς τοῖς γνησίοις πολίταις ὑπὸ τὴν Συριακὴν ἐπαρχίαν ἔταξε σὺν τῇ Ἰουδαίᾳ, ἀπὸ τῶν ὁρίων Αἰγύπτου μέχρις Εὐφράτου ποταμοῦ, ὁ Πομπήιος παραδοὺς P. 299

5. λύχνου] λύχνους B. σπονδίον AB. πονδίων G. Correctum ex Iosepho vol. I. p. 690. vol. II. p. 68. θυμιατήρων B. 10. συμμαχήσασα A. 11. οὗτος] οὕτως G. ἰουδαίους B. Ιουδαίοις G. 12. ἀφελομένου AB. 16. αὗται] αὗται G. ταύταις AB. 17. μάρισα AB. ἀρέθουσα B. Ἀρέθους G. 18. Vulgo Ἰώππην. 20. ἐπαρχείαν B.

tis non fortitudinis opus est et incautis inconsulteque progressis perniciem mercatur. Pompeius igitur urbe capta in templum cum amicis pede illato et in ipsa sancta penetrans, sacrorum vasorum nullum, vel rem sacris addictam nullam attigit, praeter aromata licet, lucernas, candelabrum, pateras et thuribula ex auro solido conflata, alia copiosa talentorum duum millium varia supellex in propatulo et sub oculis obversaretur; quin immo templum effuso cruore foedatum ab Aedituis praecepit expiari. Postero die Hyrcanum renunciavit summum pontificem et Aristobulo cum socero vinculis custodito, cunctos, qui belli fuerant auctores, securi percuti iussit. Ampla deinde munerum largitione militum virtutem voluit compensatam, Syllae maxime filii Fausti generosi iuvenis et eius in pugna sociorum. Iudaeis in hunc modum Romani populi redditis vectigalibus et eorum ditione propriis finibus circumclusa, Graecanicas Coelesyriae urbes a Maccabaeis quondam captas eisdem abstulit. Ad haec urbes in continente sitas Iudaeorum dominio declaravit liberas; harum insigniores fuere Scythopolis, Basan intellige, Hippus, Pella, quae Samaria, Marisa, Azotus, Iamnia, Arethus; e maritimis Gazam, Ioppem, Dora, Stratonis turrim, id est Caesaream, propriis restitutas civibus Syriae provinciae subiectas esse sanxit, cum Iudaea universa ab Aegypti terminis ad fluvium Euphratem. Provincia Scauro

Σκαύρῳ διέπειν καὶ δύο Ῥωμαϊκὰ τάγματα πρὸς συμμαχίαν εἰς Ῥώμην ἠπείγετο διὰ Κιλικίας, αὐτὸς τὸν μέγιστον κατατάξων θρίαμβον ἐπαγόμενος τοὺς ἡττηθέντας αὐτῷ βασιλεῖς Φαρνάκην Μιθριδάτου υἱὸν (τὸν καὶ καρτερήσαντα τὸν ἴδιον ἀνελεῖν πατέρα Μιθριδάτην τῇ πρὸς Πομπήιον χάριτι καὶ αὖθις κατὰ Ῥωμαίων στασιάσαντα) Κολχῶν ἤτοι Λαζῶν βασιλέα, ἄρχοντας Ἰβήρων κ', Ἀριστόβουλον Ἰουδαίων βασιλέα σὺν θυγατράσι δυσὶ καὶ υἱοῖς, Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ, ὧν ὁ νεώτερος ἐκ τῆς ὁδοῦ διαδρὰς Ἀλέξανδρος εἰς τὴν Ἰουδαίαν ἐπάνεισι στασιάσων, ὡς δηλωθήσεται.

B Πομπήιος οὖν πολιορκίᾳ λαβὼν τὰ Ἱεροσόλυμα Ἀριστόβουλον μὲν δέσμιον σὺν τοῖς παισὶν Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ κατεῖχεν εἰς Ῥώμην ἀπιών, θριαμβεύσων καὶ ἄλλων ἐθνῶν βασιλεῖς καὶ ἡγεμόνας· Ὑρκανῷ δὲ τῷ τούτου ἀδελφῷ τὴν ἀρχιερωσύνην ἐγχειρίσας ὑποφόρους ἔταξε Ῥωμαίοις Ἰουδαίους.

Καὶ Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς παρὰ Ῥωμαίοις ἤκμαζεν. οὗτος καθεῖλε Κάτελλον καὶ Κέθηγον καὶ Λέντουλον συνομοσαμένους κατὰ τῆς συγκλήτου.

C Πομπήιος ἐλθὼν εἰς Ῥώμην καὶ θριαμβεύσας ἐπὶ νίκαις

1. σκαύρῳ B. Σκάρῳ G. συμμαχείαν B. 3. ἐπαγόμενος B. ἐπαγομένους G. 4. μηθριδάτου B. 5. μηθριδάτην AB. 6. βασιλέα] βασιλέας G. ἰβηρίων B. 8. Ἀλεξάνδρου καὶ Ἀντιγόνων G. 9. Ἰουδαίαν] ἰδαίαν B. στασιάσας G. 11. Hinc plerique Codices MSS. Georgii Syncelli nomine vulgati incipiunt. GOAR. Vide Goari annotationem p. 72 ed. Paris. 17. κάτελλον AB. κάστελλον AG. Corrige Κατιλίναν cum Scaligero p. 73. καθ' ἕλληνα (Κατιλίναν m.) Κέθιγον καὶ Λέντουλον P. κέθιγον B. Vulgo Λέντουλλον.

commendata, Romanisque legionibus loco tutando relictis duabus, Pompeius per Ciliciam iter agit, celebremque ducturus triumphum Romam contendit. Victos autem reges secum ducebat Pharnacem Mithridatis filium (qui Pompeii gratiam promeriturus, proprium patrem neci tradere sustinuit et rursum in Romanos bello tumultuatus est) Cholcorum, id est Lazorum reges, principes Iberorum viginti et Aristobulum denique Iudaeorum regem cum filiabus geminis et filiis duobus, Alexandro et Antigono, quorum iunior Alexander fuga per viam ereptus Iudaeam repetit, auctor futurus in ea seditionum, quas in sequentibus exponemus.

Pompeius igitur captis obsidione Hierosolymis iter Romam versus dirigens, Aristobulum una cum filiis Alexandro et Antigono vinctum, de illis et nationum aliarum regibus et ducibus subactis triumphum ducturus; Hyrcano quoque eius fratri pontificatu commendato, Iudaeos Romanis vectigales fecit.

Cicero rhetor senatoria dignitate conspicuus inter Romanos florebat; is Catilinam, Cethegum et Lentulum in senatum coniuratos delevit.

Pompeius victoriis pluribus insignis Romam veniens ac triumpho dona-



πολλαῖς αὐτοκράτωρ ἀνηγορεύθη καὶ ἑνοῦται φιλίᾳ Γαΐῳ Ἰουλίῳ Καίσαρι καὶ γαμβρὸς ἐπὶ θυγατρὶ Ἰουλίᾳ γίνεται. ὁ δὲ Γάϊος χειροτονηθεὶς κατὰ Γάλλων καὶ Βρεττανῶν στρατηγὸς ἐκπέμπεται, μεγάλαις μάχαις ἐν ἔτεσι δέκα Γάλλους καὶ Βρεττανοὺς Ῥωμαίοις ὑποτελεῖς καταστήσας, φ' πόλεις κατέχοντας, ὡς ἱστορεῖ Πλούταρχος ὁ Χαιρωνεὺς φιλόσοφος.

Ἀλέξανδρος υἱὸς Ἀριστοβούλου πρεσβύτερος διαδρὰς τὸν Πομπήιον εἰς τὴν Ἰουδαίαν ἔρχεται καὶ πρὸς βραχὺ κρατήσας D πολλῶν Ἰουδαίων καὶ αὐτῆς τῆς ἀρχῆς ὑπὸ Γαβινίου καὶ Ἀντωνίου πολεμηθεὶς ἐκβάλλεται. παραλαμβάνει τε Ὑρκανὸς αὖθις τὴν κηδεμονίαν τοῦ ἱεροῦ, τὴν δὲ ἄλλην πολιτείαν ταῖς Ἀντιπάτρου συμβουλίαις διαιροῦσιν εἰς πέντε, τὸ πρῶτον μέρος Ἱεροσο- V. 239
λύμοις ἀπονείμαντες, τὸ δεύτερον Δώροις, τὸ τρίτον Ἀμαθοῦντι, τὸ τέταρτον Ἱεριχοῦντι, τὸ πέμπτον Σεπφωρίδι πόλει Γαλιλαίας. κἀκ τούτου τὸ λοιπὸν ἐδόκουν ἀριστοκρατικῶς ζῆν, εἰ μὴ φυγὼν ἐκ Ῥώμης ἦλθεν Ἀριστόβουλος σὺν Ἀντιγόνῳ νεωτέρῳ παιδί· καὶ πάλιν ἀρχὴ γέγονεν αὐτῷ θορύβων καὶ Ἰουδαίους πολλοὺς P. 300
προσλαβόμενος, καὶ τὸ φρούριον ἀνατειχίζειν τὴν Ἀλεξάνδρειαν ἐπιγόμενος. τάχιστα δὲ συλληφθεὶς ἐπὶ μάχῃ φεύγων σὺν τῷ υἱῷ Γαβινίου, στείλαντος ἐπ' αὐτὸν Σίσενναν καὶ Ἀντώνιον καὶ Σερουιανὸν ἐν δυνάμει Ῥωμαϊκῇ, δεσμώτης αὖθις εἰς Ῥώμην

2. Γάϊος] „Γάλλος P. al. Γάϊλος." GOAR. 6. Vulgo Χερονεύς. χερρονεὺς B. 7. τὸν add. B. 14. Σεπφορίδι G. 17. αὐτῷ] αὐτὸς m. 18. φρούρειον B. Ἀλεξάνδρειαν] Conf. p. 297 c. 20. σίσενναν Bm. Σίσαιναν G. 20. Σερουιανὸν] Σερουίλλιον m.

tus Imperator renunciatus est et Caio Iulio Caesari gener fit, Iulia eius filia uxore ducta. Ipse Caius adversus Gallos et Britannos dux creatus, memorandis victoriis per annos decem edomitos vectigalibus populo Rom. pendendis obnoxios fecit, et Plutarcho Cherronaeo philosopho in historiis teste, urbes eorum quingentas in potestatem misit.

Alexander Aristobuli filius senior Pompeii manibus elapsus in Iudaeam revertitur et copiosa Iudaeorum manu adiutus brevi tyrannidem consequitur; mox a Gabinio et Antonio debellatus eiicitur; Hyrcanus rursum templi curam suscipit; omnemque aliam rei communis potestatem Antipatri consiliis in praefecturas quinque duces praefati dispertiuntur; et partem quidem primam Hierosolymis, alteram Doris, tertiam Amathunti, Hierichunti quartam, ultimam tandem Sepphoridi Galilaeae urbi assignant. Exinde itaque aequali plurium optimatum magistratu instituto quietem habituri videbantur, nisi Roma fugiens Aristobulus cum Antigono filio iuniore tumultibus principium dedisset, ac non exigua Iudaeorum turba septus arcem Alexandrium moenibus instaurare contendisset. Gabinio Sisennam, Antonium et Servilium cum Romanis copiis in eum mittente primo conflictu captus ac vinculis mancipatus Romam iterum ablegatur. Solus igitur Alexan-

ἀναπέμπεται. καὶ ἦν μόνος Ἀλέξανδρος ἐπὶ τῆς Ἰουδαίας, ποτὲ μὲν φεύγων Ῥωμαίους, ποτὲ δὲ παρενοχλῶν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ τὴν ἐπιμέλειαν τῆς χώρας ὑπὸ Πομπηίου καὶ τῶν μετὰ ταῦτα πεπιστευμένῳ· ὃς ὑπὸ Γαβινίου πεμφθεὶς πολέμῳ τὸν Ἀλέ-B ξανδρον τρέπεται, μυρίους ἀνελὼν τῶν σὺν αὐτῷ καὶ τοὺς ἄλλους δισμυρίους φυγῇ σκεδάσας συμμαχούντων Ἰουδαίων περὶ τὸ Ἰταβύριον ὄρος.

Τότε Κράσσος διαδεξάμενος Γαβίνιον καὶ τὴν Συριακὴν παραλαβὼν ἀρχὴν ἐπὶ Πάρθους ἤτοι Πέρσας στρατευσάμενος αὐθαιρέτως τῶν ἄλλων τοῦ ναοῦ τῶν Ἰουδαίων ἅπαντα κόσμον ἐσύλησε καὶ τὰ δισχίλια τάλαντα ὧν ὁ Πομπήιος ἐφείσατο. διαβὰς δὲ τὸν ποταμὸν Εὐφράτην ὄλλυται σὺν τῷ πλήθει Κασσίου ταμία τοῦ αὐτοῦ Κράσσου τοὺς περισωθέντας ἀνακτησαμένου καὶ τοὺς αὐτοὺς Πέρσας φόνῳ πολλῷ τῆς ὅλης Συρίας ἐλάσαντος· ὃς Κάσ-C σιος εἰς τὴν Ἰουδαίαν ἐπειγόμενος τρισμυρίους Ἰουδαίους αἰχμαλωτίζει, Ταριχέας ἑλὼν καὶ Πειθόλαον κτείνει, ὡς τοῖς Ἀριστοβούλου καὶ τῶν τέκνων στασιασταῖς κατὰ Ὑρκανοῦ καὶ Ἀντιπάτρου σύνδρομον. τοῦ δὲ φόνου σύνδρομος ἦν ὁ αὐτὸς Ἀντίπατρος, ἐξοικειούμενος τοὺς πανταχοῦ Ῥωμαίοις δυνάστας δώροις καὶ ταῖς λοιπαῖς ἐπικουρίαις, ἐν οἷς καὶ τῷ τῶν Ἀράβων βασιλεῖ Ἀρέτᾳ σφόδρα φιλωθεὶς δι' ἐπιγαμίαν ἐπισήμου γυναικὸς Ἀραβίσσης Κύπριδος, ἐξ ἧς υἱοὺς ἔσχε τέσσαρας, Φασάηλον καὶ τὸν κατόπιν

3. τῶν P. τῷ G. 5. τῶν σὺν αὐτῷ ἀνελὼν G. 8. Κράσος legebatur hic et infra. 12. ταμεία B. 15. εἰς] ἐπὶ G. Τεριχαίας m ex Iosepho p. 695. 16. Πειθόλαον ex Iosepho dedi. Vulgo Πισίαλον. 22. Vulgo Φασάϊλον. Recte apud Iosephum.

der in Iudaea remansit a Romanis quandoque in fugam actus et Hyrcano nonnunquam et Antipatro, qui a Pompeio et successoribus provinciae curam fidei suae demandatam susceperat, damnum inferens. Antipater posthac a Gabinio delegatus Alexandrum caesis sociorum eius mille aliisque millibus duobus fuga dispersis circa Itaburium montem bello profligat.

Eo tempore Crassus Gabinii successor Syriae gerens praefecturam bellum in Parthos, hoc est Persas, moturus, prae reliquis Iudaici templi ornatum omnem et quibus Pompeius pepercerat, talenta bis mille diripuit. Inde trans Euphratem fluvium cum copiis debellatus perit, Cassio eiusdem Crassi quaestore reliquias exercitus certo excidio liberante, et Persas eosdem ampla strage edita tota Syria depellente. Cassius iste in Iudaeam festine motus captis Tarichaeis Iudaeorum 30,000 in captivitatem mittit, Pitholaumque, qui Aristobuli filiorumque tumultus fovebat, et in Hyrcanum et Antipatrum auxilia subministrabat, interficit. Caedis socius fuit Antipater, qui Romanis quos poterat dynastas donis et officiis amicos comparabat. Eam ob rem Aretae Arabum regi nobili muliere Cypride ex eius provincia in uxorem ducta, ex qua filios quatuor Phasaelum, Herodemque



Ἡρώδην βασιλεύσαντα Ἑβραίων μετὰ Ὑρκανὸν πρῶτον ἀλλογενῆ καὶ τρίτον Ἰώσηππον καὶ Φερώραν τέταρτον. ἐπειδὴ τὸν κατὰ Ἀριστοβούλου δῆθεν καὶ τῶν τέκνων ἀνείλετο πόλεμον τῷ Ἀρέτᾳ τοὺς υἱεῖς σὺν θυγατρὶ Σαλώμῃ παρατίθεται. ταῦτα δέ D μοι προπαρεσκεύασται οὐχ ἁπλῶς, ἀλλὰ δεῖξαι βουλομένῳ πῶς ἐγγιζούσης τῆς τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείας σαρκώσεως ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ κατὰ τὴν πρόρρησιν τοῦ πατριάρχου Ἰακώβ.

Ἀλέξανδρος Ἀριστοβούλου υἱὸς πρεσβύτερος Πομπήιον ἀποδρὰς κρατεῖ πρὸς βραχὺ τῶν Ἰουδαίων καὶ αὐτοῦ μικρὸν δὴ καὶ Ὑρκανοῦ, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρου διάδοχος Μάρκον Ἀντώνιον μετὰ δυνάμεώς τινος προπέμψας ἐπῆλθεν αὐτοῖς μετὰ πλείονος προσβολῆς. ἔνθα μὴ ἐνέγκας Ἀλέξανδρος τὴν Ἀντωνίου προσβολὴν Ἀντιπάτρου παρεπομένου καὶ τῶν λοι- P. 301 πῶν ὑπερμάχων Ὑρκανοῦ Ἰουδαίων φεύγει πρὸς τὰ Ἱεροσόλυμα ἑξακισχιλίους ἀποβαλὼν τῇ Ἀντωνίου γενναιότητι. πανταχοῦ μέν, μάλιστα δὲ ἐνταῦθα Πομπήιος Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἐκύρωσεν. ὁ αὐτὸς Ἰουδαίους Ῥωμαίοις ὑποφόρους ἔταξεν. ὁ αὐτὸς Ἀντίπατρον ἀλλόφυλον Ἡρώδου υἱὸν καὶ πατέρα τῆς Παλαιστίνης ἐπίτροπον κατέστησε.

2. τρίτον] πρῶτον G. φερῶραν A. φερορᾶν B. Φερωρᾶν G. Φερώρας apud Iosephum dicitur. καὶ ἐπειδὴ m. 3. τῷ m. τῶν G. 4. υἱεῖς B. υἱοὺς G. 7. ἐξέλειπεν B. 11. καὶ Ὑρκανοῦ] τοῦ Ὑρκανοῦ G. 13. αὐτὸν ἠβουλήθη μετὰ πλείονος ἐπελθεῖν προσβολῆς P. 18. ἐνταῦθα δὲ μάλιστα G.

illum, qui sublato Hyrcano primus extraneorum Hebraeorum obtinuit principatum, Iosephumque omnium maiorem et Pheroram quartum suscepit, summa necessitudine coniunctus est; et apud eum bello in Aristobulum et filios moto liberos eosdem cum Salome filia deposuit. Haec non inconsulto vel temere, sed ex industria praemissa sint, quo unigeniti filii et verbi dei et salvatoris nostri Iesu Christri proxima iam divina carnis humanae susceptione rectorem ex Iuda, et ex eius femoribus ducem, ex patriarchae Iacob praenuncio sermone defecisse declarem.

Alexander Aristobuli filius maior Pompeii manibus elapsus Iudaeorum principatu ad breve tempus potitur; ipsumque Hyrcanum in potestatem egisset, nisi Gabinius Scauri successor in Syriam missus, Marco Antonio cum velitum copiis praecurrente, ipse robustiori exercitu hostem attrivisset. Antonii vero et Antipatri eum sequuti, Iudaeorumque Hyrcani partes tuentium non ferens incursus Alexander, ex suis Antonii virtute ad sex millia desideratis Hierusalem fuga se recipit. Iterum velut iam frequenter Hyrcanum in pontificatu confirmat Pompeius; idemque Iudaeos inter vectigales populos recenset; et Antipatrum Herodis filium et alterius Herodis patrem Palaestinae procuratorem constituit.

V. 240 Γάϊος Ἰούλιος Καῖσαρ Λυσιτανίαν, Γάλλους, Βρεττανοὺς καί τινας περὶ τὸν Ὠκεανὸν νήσους κατεστρέψατο.

Ὁ αὐτὸς τὸν Ῥῆνον ποταμὸν διαβὰς Γερμανοὺς καὶ Γάλλους
B ἐχειρώσατο.

Τὸ ἐν Ὀλυμπίᾳ ἄγαλμα ἐκεραυνώθη.

Γάϊος Καῖσαρ πρὸς Πομπήιον ἐπολέμησε.

Γάϊος Ἰούλιος μεγίστοις ἀγῶσι Γάλλους καὶ Βρεττανοὺς καὶ Γερμανοὺς καταστρεψάμενος ὑποτελεῖς τε Ῥωμαίοις φ' πόλεις οἰκοῦντας καταστησάμενος πολλοῖς ἱδρῶσιν, ἐπὶ ι' ἔτη τοῖς ἀπροσμαχήτοις βαρβάροις καταπολεμῶν πρὸς αὐτοῖς Ὠκεανοῦ ῥεύμασιν ἐπὶ θριάμβῳ μείζονι ἐπανῆλθεν ἐν Ῥώμῃ καὶ τούτου τυχὼν ὀργίζεται Ῥωμαίοις ἀνταίροντος Πομπηίου καὶ ταῖς νίκαις ζηλο-
C τυποῦντος μετὰ πολλῶν τῆς συγκλήτου. ἔνθεν τὸ δεύτερον ἐμφύλιος Ῥωμαίοις συνέστη πόλεμος ἐν Φαρσάλῳ τῆς Θετταλίας μετὰ τὴν ἐν Ῥώμῃ Γαΐου ἐπάνοδον, ὡς εἴρηται, τῆς Πομπηίου γαμετῆς, θυγατρὸς δὲ τοῦ Καίσαρος Ἰουλίας μετηλλαχυίας περὶ τὸν τοκετόν.

Οὗτος καὶ τὸν Ἀριστόβουλον λύσας τῶν δεσμῶν μετὰ δύο ταγμάτων εἰς Συρίαν ἐκπέμπει, δι' αὐτοῦ ταύτην ἔχειν θαρρῶν μετὰ τῆς Ἰουδαίας, ὃς ἐλθὼν ἀναιρεῖται φαρμάκῳ παρὰ τῶν Πομπηίου φίλων, ταφῆς οὐκ ἀξιούμενος ἐν τῇ πατρῴᾳ γῇ, μέλιτι δὲ συντηρούμενος ἕως Ἀντώνιος αὐτὸν τοῖς βασιλικοῖς μνή-
D μασι προσέταξε ταφῆναι. ἐν ταὐτῷ δὲ κατὰ τὴν Ἀντιόχειαν ὑπὸ

3. Vulgo Ῥῖνον. 10. βαρβαρίοις A. 12. ταῖς νίκαις B. τῆς νίκης G. 16. γαμετῆς, θυγατρὸς] Legebatur θυγατρὸς γαμετῆς. 18. καὶ] δὲ G. 21. οὐκ om. B.

Caius Iulius Caesar Lusitaniam, Gallos, Britannos et alias ad Oceanum positas insulas subegit.

Idem Rheno flumine traiecto Germanos et Gallos debellavit.

Simulacrum Olympiaci Iovis tactum fulmine.

Caius Caesar Pompeio bellum intulit.

Caius Iulius difficili Marte Gallis, Britannis et Germanis superatis urbes eorum quingentas Romanis tributum pendere coegit; multo oppido sudore per annos decem cum indomitis populis praeliatus, triumphum exinde consequuturus Romam regressus est. Eo potitus Pompeiumque ob enatam victoriis laudem plerosque e senatu sibi adversos et invidentes expertus Romanis irascitur; ex quo bellum civile secundo concitum ad Pharsaliam Graeciae, Caio, ut praemissum, nuper Romae restituto, eiusque filiae Iuliae Pompeii uxoris morte audita.

Hic Aristobulum a vinculis liberum cum legionibus duabus in Syriam misit, ipsam eius ope cum Iudaea amicam retinere confisus; adveniens ille ab amicis Pompeii veneno exstinguitur, et in ipso paterno solo sepulcri privatur sorte; corpus melle conditum asservatum est donec Antonius in regum monumenta iussit inferri. Eodem tempore filius eius



Σκιπίωνος ἀναιρεῖται καὶ Ἀλέξανδρος ὁ υἱὸς αὐτοῦ, Πομπηίου γράψαντος.

Ὁ δ' αὐτὸς Πομπήιος ἔρχεται φυγὰς ὁλκάδι μιᾷ πρὸς Πτολεμαῖον καὶ Κλεοπάτραν εἰς Αἴγυπτον, καταλείψας τὴν Ῥώμην. καὶ ἀναιρεῖται λοιπὸν ὁ τηλικοῦτος ἀριστεὺς ὑπὸ Πτολεμαίου τῇ πρὸς Γάϊον Ἰούλιον Καίσαρα χάριτι. ὅπερ ἀκούσας Γάϊος ἐλθὼν ἐν Αἰγύπτῳ κατὰ τοῦ Πομπηίου σὺν τοῖς στρατεύμασιν ἀναιρεῖ μὲν τὸν Πτολεμαῖον διὰ τὸν Πομπηίου φόνον, βεβαιοῖ δὲ τῇ Κλεοπάτρᾳ μόνῃ τὴν ἀρχὴν Αἰγύπτου διὰ τὸν πρὸς αὐτήν, ὥς φασιν, ἔρωτα, καὶ πάλιν εἰς Ῥώμην διὰ τῆς Ἰουδαίας ἐπάνεισιν, ἐπαναστάντων αὐτῷ τῶν Πομπηίου παίδων.

Τότε καὶ Ἀντίγονος ἐπὶ Γαΐου Καίσαρος πρὸς Ὑρκανὸν καὶ P. 302
Ἀντίπατρον πολλὰ περὶ τοῦ φόνου τοῦ πατρὸς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου τοῦ ἀδελφοῦ δικαιολογηθεὶς κατηγορεῖ σὺν τοῖς περὶ Πομπήιον καὶ Σκιπίωνα παρόντων καταβοῶν· οὐδὲν δὲ πλέον ἔδρασε τοῦ μείζονος γενέσθαι προκοπῆς αἴτιος Ἀντιπάτρῳ παραδόξως διὰ τὴν ἐν Αἰγύπτῳ συμμαχίαν αὐτοῦ πρὸ μικροῦ, ὡς καὶ Μιθριδάτης ὁ Περγαμηνὸς μάρτυς ἦν δι' αὐτοῦ περισωθείς, αὐτός τε Ἀντίπατρος τὸ σῶμα πᾶν ἐπιδεικνὺς κατατετρωμένον ὑπὲρ εὐνοίας τοῦ Καίσαρος. ἀλλὰ τούτων ὁ Καῖσαρ ἀκούσας Ὑρκανῷ τὴν ἀρχὴν ἐπιβεβαιοῖ τῆς ἱερωσύνης καὶ Ἀντιπάτρῳ δυ-

5. πτολεμαίου B. τοῦ Πτολεμαίου G. 6. τὸν Γάϊον G. 11. τῶν] καὶ G. 15. καὶ] καὶ τὸν G. 17. συμμαχείαν B. ὡς καὶ] ὡς καὶ ὁ G. 20. εὐνοίας] εὔνοιαν G. ἀλλὰ] ἀλλὰ καὶ G. τούτων B. τοῦτον G. 21. ἱερωσύνης B. ἀρχιερωσύνης G. Conf. p. 303 b.

Alexander, Pompeio ita litteris significante, Antiochiae a Scipione interficitur.

Pompeius ipse Roma relicta fugitivus ad Ptolemaeum et Cleopatram navi oneraria in Aegyptum delatus est, ubi demum a Ptolemaeo gratiam Caio Iulio Caesari se praestare rato Divus ille neci traditur. Nuncio mortis accepto cum adversis Pompeio legionibus Caius in Aegyptum advolat et Ptolemaeum quidem ob Pompeii caedem ulciscitur, soli vero Cleopatrae, eius illecebris, ut aiunt, captus regnum Aegypti confirmat, et per Iudaeam itinere suscepto denuo Romam, insurgentibus in eum Pompeii liberis, revertitur.

Tunc quoque temporis de patris Aristobuli et fratris Alexandri caede apud Caium Caesarem in Hyrcanum et Antipatrum causam dicturus Antigonus, Pompeii amicos ipsumque Scipionem adstantes, ceu criminis reos, pluribus insectatus est. Nil autem amplius effecit quam ut praeter exspectationem maioris accessionis et gloriae Antipatro fieret auctor, quod nuperis diebus auxilium in Aegypto dedisset; aderatque facinorum eius testis Mithridates Pergamenus ab eo in praelio servatus, ipseque suae in Caesarem fidei confossum plagis corpus argumentum ostentabat. Caesar eius oratione motus Hyrcano in pontificatus honore confirmato, dynastiae cuius vellet optionem offert Antipatro, qua

B ναστείας αἵρεσιν δίδωσιν· ἧς ἐπιδραξάμενος στρατηγὸν εὐθὺς
ἀναδείκνυσιν Ἱεροσολύμων καὶ πέριξ αὐτῆς τὸν πρῶτον παῖδα
Φασάηλον, Ἡρώδην δὲ νέον κομιδῆ τῆς Γαλιλαίας καὶ τῶν περὶ
ταύτην πόλεων οὐκ ἀποδέουσαν τῆς Φασαήλου ἀρχῆς. αὐτίκα δ'
οὗτος εὐδοκιμεῖ τῷ δεινῷ τοῦ φρονήματος, εὑρηκὼς ὕλην ἁρ-
μόζουσαν Ἡρώδης, ὡς γενέσθαι Σέξτῳ Καίσαρι γνώριμος διὰ
τὰς κατὰ λῃστῶν ἀριστείας.

V. 241 Ἐζεκίαν γὰρ ἀρχιλῃστὴν μετὰ πολλῶν τοῦ στίφους συλλα-
βόμενος κατατρέχοντα Συρίας ἀνεῖλε, φήμη τε περὶ αὐτοῦ μεγάλη
C κατὰ χώρας καὶ πόλεις ἐγένετο, ὡς εἴη καὶ πρὸς τὸ βασιλεύειν
ἐπιτήδειος. ἐκ τούτου κινεῖται καὶ Ὑρκανὸς κατ' αὐτοῦ ζηλο-
τυπίᾳ καταδίκῃ φονικῇ συνεχεῖ πειραθείς. Ἡρώδης δὲ πρὸς Σέξ-
τον εἰς Δαμασκὸν ἀνεχώρησε Καίσαρα καὶ τὴν ἀρχὴν παρ' αὐ-
τοῦ κοίλης Συρίας καὶ Σαμαρείας λαβὼν στρατηγὸς ἀναδείκνυται
μετὰ στρατεύματός τε παρεγένετο καταλύσων τὸν Ὑρκανὸν ἐπὶ
τὰ Ἱεροσόλυμα, εἰ μὴ ταῖς πατρικαῖς ἐκωλύθη παραινέσεσι.
καὶ τὰ μὲν περὶ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν, Ὑρκανοῦ μὲν ζηλο-
τυποῦντος Ἀντιπάτρῳ τῆς δυναστείας καὶ τοῖς παισὶ τῆς εὐπρα-
γίας, Ἡρώδῃ μάλιστα, Ἀντιπάτρου δὲ πρὸς Ὑρκανὸν τὰ τῆς
D εὐνοίας φυλάττοντος διὰ τὸ καὶ αὐτὸν ἡσυχάζειν θορύβων.

Ὁ δὲ Γάϊος Ἰούλιος Καῖσαρ εἰς τὴν Ῥώμην ἐπανελθὼν πά-

2. καὶ τῶν πέριξ G. 3. Vulgo Φασάϊλον et infra Φασαΐλου. 5. τῷ δεινῷ] τὸ δεινὸν P. 5. τοῦ φρονήματος τῷ δεινῷ G. Transposui auctore B. 7. τὰς B. τῆς G. 9. ἀνεῖλεν AB. ἀνελὼν G. 11. καὶ om. G. 13. ἀναχωρήσας G. 15. τε om. G.

obtenta primum e liberis Phasaelum Hierosolymorum et circumpositae regionis praefectum instituit, Herodem vero aetate minorem Galilaeae adiacentiumque civitatum, non minore certe, quam quae Phasaelo obvenerat, ditione donat. Herodes quasi copiosa gloriae silva reperta, nomen et famam sibi parat ampliorem, adeo ut exhibito quam in latrones exseruit virtutis indicio, Sexto quoque Caesari familiaris redditus fuerit.

Ezechia quippe praedonum duce Syriam latrociniis infestante cum non exigua similium manu comprehenso ac neci tradito, fama de viro ceu principatu digno regionem civitatesque cunctas pervagata est. Haec in eum invidiae causa fuit Hyrcano, et ne mortis sententiam iniuste experiretur continuus timor. Interim Herodes ad Sextum Caesarem Damascum profectus, Coelesyriae Samariaeque renunciatus dux rem Romanam administrat; iamque versus Hierosolyma motis castris Hyrcanum deturbasset, nisi paterna monita eum in officio continuissent. Hic Iudaicarum rerum status, Hyrcano videlicet propter potestatis incrementum Antipatri fortunae, eius autem liberis et Herodi maxime ob egregie factorum successum invidente, Antipatro vero, eo quod nondum ad innovandum propenderet, integram fidem adhuc servante.

At Caius Iulius Caesar Romam reversus Pompeianis partibus, quibus



σης ἐφείσατο τῆς μοίρας Πομπηίου, ἧς ἐτύγχανε καὶ Κικέρων
καὶ Βροῦττος καὶ Κάσσιος. καὶ γὰρ τῷ Γαΐου φόβῳ προδιέφθει-
ρεν ἑαυτὸν φαρμάκῳ. τέλος δ' οὖν μετὰ τὴν Πομπηίου τελευ-
τὴν ἔτει δ' κατὰ Κελτιβηρίαν πολλοῖς τοῖς ἀγῶσι τῶν Πομπηίου
περιγίνεται παίδων, μόλις κρατήσας αὐτῶν, πολλὴν ἔχουσι δύ-
ναμιν, ὧν τὸν πρεσβύτερον ἀνελὼν τοὺς ἄλλους ζῶντας ἔλαβε.
καὶ ἐλθὼν εἰς Ῥώμην τὴν τῶν ὑπάτων ἀρχὴν καταλύει σύνεγγυς
ἔτι κατασχοῦσαν μετὰ Ταρκύνιον Σούπερβον, πρῶτος μοναρχή- P. 303
σας Ῥωμαίων ἔτι φιλανθρωπότατος γενόμενος τῶν πώποτε βε-
βασιλευκότων.

Ἀλεξανδρείας καὶ Αἰγύπτου Κλεοπάτρα θυγάτηρ Πτολεμαίου
τοῦ καὶ Διονύσου ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ευμϛ'.

Ἀντώνιος Ἀραβίαν Κλεοπάτρᾳ προὔδωκε.

Κλεοπάτρα ἡ τελευταία τῶν Λαγιδῶν ἀπόγονος ἐπὶ τῷ φόνῳ
τοῦ ἀδελφοῦ, Ἀντωνίου μοιχευθεῖσα, τούτῳ καὶ αὐτὴ γέγονεν
ἀπωλείας αἴτιος, ἀσπίδι καθ' ἑαυτῆς ὅπλῳ θανάτου χρησαμένη
ἀπὸ Ἀλεξάνδρου ἔτει σϟη'. B

Ὑρκανὸς τὰ Ἱεροσολύμων ἀνέστησε τείχη ὑπὸ Πομπηίου
καθαιρεθέντα.

Ἡρώδην Κάσσιος κοίλης Συρίας καὶ Ἰουδαίας στρατηγὸν ἐν
Δαμασκῷ προεχειρίσατο.

2. Post *Κάσσιος* Goarus lacunam indicavit. καὶ γὰρ] Legebatur κατὰ γάρ. 4. ἔτει B. ἔτη G. Vulgo *Κελτιβέρειαν*. 5. ἔχουσι] ἐχούσῃ B. ἐχόντων m. 8. *Ταρκύνιον*] Vulgo *Ταρκυΐνον*. 11. *Αἰγύπτου*] ἐβασίλευσε addit m. 12. κβ'] κε' P. 13. *Κλεοπάτρᾳ* B. *Κλεοπάτραν* G. 14. ἀπόγονος om. G. 15. ὑπὸ *Ἀντωνίου* G. 17. ἀπὸ — σϟη' om. G. ἔτει] ἔτη ABP. σϟη' AB. ϙϟη' P. τ' corrigit Goarus temere. Vide p. 308 c. 21. προεχειρήσατο B.

Cicero, Brutus et Cassius annumerabantur clementem se exhibuit . . . . . Caii namque timore sumpto veneno mortem sibi conscivit. Post Pompeii denique caedem annos 4 Pompeii filiis valido exercitu instructis multo labore superior factus, eos in potestatem recepit; quorum maiore occiso, caeteris vitam reliquit. Romae demum restitutus, consulum auctoritatem a Tarquinii temporibus in eum usque diem vegetam et integram labefactavit omnino, primus Romanorum monarcha declaratus et omnium, qui prius regnaverant, habitus clementissimus.

Alexandriae et Aegypto imperavit Cleopatra Ptolemaei, qui etiam Dionysius, filia annis 22, mundi vero 5446.

Arabiam Cleopatrae donavit Antonius.

Cleopatra Lagidarum postrema fratricidio, et cum Antonio scortatione infamis eidem ruinae causa fuit, aspide postmodum ceu leti telo adversum se usa, ab Alexandri morte anno 300.

Hierosolymorum muros a Pompeio eversos Hyrcanus erexit.

Herodem Coelesyriae Iudaeaeque ducem Damasci Cassius instituit.

ΡΩΜΑΙΩΝ μόναρχος Γάϊος Ἰούλιος Καῖσαρ ἔτη ε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ευνδ΄.

Γάϊος Ἰούλιος Καῖσαρ ἐλθὼν εἰς τὴν Ἰουδαίαν μετὰ τὸν Πομπηίου θάνατον ἀπ᾽ Αἰγύπτου βεβαιοῖ τὴν ἀρχὴν ἱερωσύνης Ὑρκανῷ καὶ Ἀντιπάτρῳ δυναστείας αἵρεσιν δίδωσιν.

C Ὀλυμπιὰς ρπγ΄.

Ἀπὸ κατὰ Ῥώμην ἔτη.

Ἀντώνιος τὸν ἕβδομον παρὰ Ῥωμαίοις μῆνα Κυντίλλιον καλούμενον Ἰούλιον μετονομασθῆναι ἐψηφίσατο διὰ τὸ γεννηθῆναι ἐν αὐτῷ.

Γάϊος Ἰούλιος ἔτη ε΄ μοναρχήσας Ῥωμαίων, προκαθήμενος τῇ συγκλήτῳ βουλῇ ἀθρόως ὑπὸ Βρούττου καὶ Κασσίου δολοφονεῖται συλλαβομένων περὶ τοὺς ξ΄ συγκλητικοὺς τῶν τηλικαύτης παρ᾽ αὐτοῦ φιλανθρωπίας ἀξιωθέντων, ὡς καὶ ὑπατεῦ-
V. 242 σαι· πλὴν, ὥς φασιν, οὐ φέροντες τὴν Πομπηίου ἀναίρεσιν μηδὲ τὴν τῶν ὑπάτων καθαίρεσιν, ἀναιροῦσι μὲν αὐτὸν, πολεμοῦν-
D ται δὲ φυγάδες αὐτίκα γενόμενοι παρὰ Ἀντωνίου σφόδρα τῷ Καίσαρι κατῳκειωμένου καὶ τηνικαῦτα ὑπατεύοντος. οὗτος οἴκτῳ τοῦ φόνου τὸν δῆμον προσλαβόμενος τοὺς μὲν φυγαδεύει, τὸ δὲ Καίσαρος μεγαλοπρεπῶς σὺν τῷ δήμῳ κηδεύει σῶμα. τούτου κληρονόμος υἱοθετηθεὶς ἦν αὐτῷ ζῶντι Ὀκταβιανὸς Καῖσαρ, ὁ

3. εἰς] κατὰ G. 4. ἱερωσύνην B. Conf. p. 302 a. 7. Ἀπὸ κτίσεως Ῥώμης ἔτη . . . m. Post ἔτη G posuit lacunae signa, quae nulla sunt in B. 12. Βρούτου G. 13. συλλαβομένων B. συλλαβόμενον A. συλλαβόμενος G. 18. καθοικειουμένου A. καθοικειωμένου B. καθοικειωμένῳ G. Correxit m. 19. τοὺς δὲ φυγαδεύει, τοῦ δὲ G.

Romanorum monarcha Caius Iulius Caesar annis 5, mundi vero 5454.

Post Pompeii necem Caius Iulius Caesar ab Aegypto in Iudaeam divertens pontificis dignitatem Hyrcano reddit stabilem; Antipatro vero, quem vellet principatum, eligendum proponit.

Olympias 183.

A Romae conditu anni . . . . . .

Septimum Romanorum mensem Quintilem prius dictum, Iulium deinceps, Iulii in eo nati gratia nuncupandum statuit.

Caius Iulius Caesar Romanorum monarchiam annos quinque moderatus, sedens inter senatores primus Bruti Cassiique dolis inopinato interficitur in medio sexaginta senatorum consessu, quorum plerique iis fuerant humanitatis beneficiis excepti, ut consulatum etiam obtinuissent, qui tamen nec Pompeio necem illatam nec consulum potestatem imminutam ferentes, eius se mortis conscios reddidere; subinde nihilominus ab Antonio Caesari bene affecto ac consulatum tenente fugati profligantur. Commotis igitur caedis huiusmodi miseratione plebis animis, fuga sibi consulere cogit coniuratos, ac Caesaris demortui corpus mixto populi luctu sumptuosissime curat. Caesari dum viveret filius adoptivus fuit Octavianus Caesar, qui



καὶ Αὔγουστος κληθεὶς, υἱὸς Ἀττίας τῆς ἀδελφῆς αὐτοῦ καὶ Ὀκταβίου στρατηγικοῦ ἀνδρὸς, ὃς ἐν Ἀπολλωνίᾳ τῆς Ἠπείρου λόγων ἕνεκα παιδεύσεως Ἑλληνικῆς διάγων εἰς Ῥώμην σπουδαίως διὰ τὴν τοῦ θείου σφαγὴν ἀναχθεὶς φιλοτιμίαις τὸν δῆμον προσάγεται καὶ τοῖς ὑπάτων προὔχουσιν Ἀντωνίῳ καὶ Ἐλπιδίῳ συμπλακεὶς P. 304
μικρὰ καὶ κρατήσας αὐτῶν πανταχοῦ, τέλος δὲ καὶ συνελθὼν αὐτοῖς εἰς φιλίαν, πολεμῆσαι Ῥωμαίων τούτους καὶ τὴν σύγκλητον πείθει καταψηφίσασθαι Βροῦττον καὶ Κάσσιον ἅμα τοῖς σὺν αὐτοῖς· στρατηγοὺς δὲ κατὰ ταὐτὸ Ἀντώνιον καὶ Ἐλπίδιον καὶ αὐτὸν Αὔγουστον τρίτον προχειρισθῆναι. καὶ ὁ μὲν Ἐλπίδιος πρὸς φυλακὴν ἔμεινε τῆς Ῥώμης, Αὔγουστος δὲ καὶ Ἀντώνιος τοῖς περὶ Βροῦττον καὶ Κάσσιον ἐν Ἑλλάδι πολεμήσαντες οὕτω κρατοῦσιν αὐτῶν, ὡς φυγάδας γενομένους φόβῳ τῶν ἐπικειμένων τέλος καὶ αὐτοὺς ἑκάτεροι διαχειρίσασθαι. εἶτα μετὰ τὴν νίκην ἐλθόντες εἰς Ῥώμην Αὔγουστος καὶ Ἀντώνιος διαιροῦνται μετὰ Ἐλπι- B
δίου τριχῇ τὴν ὅλην Ῥωμαίων ἀρχὴν, σχεδὸν δὲ εἰπεῖν τῆς οἰκουμένης. καὶ ὁ μὲν Αὔγουστος τὴν πρὸς ἑσπέραν ἄχρις Ὠκεανοῦ κληροῦται Εὐρώπην, Ἐλπίδιος δὲ τὴν πρὸς Λιβύην πᾶσαν, Ἀντώνιος δὲ ὅλην Ἀσίαν. ὃς ἀκούσας Λαβιηνόν τινα τῶν ἐν τέλει Ῥωμαίων, ἕνα τῶν ἐπὶ Βροῦττον καὶ Κάσσιον, πρὸς Ἡρώδην Περσῶν βασιλέα φυγόντα καὶ Ῥωμαίοις πολεμεῖν σπεύ-

4. δῆμον] λαὸν G. 5. τοῖς] τῶν G. 8. Βροῦτον G hic et infra. 9. κατὰ τ᾽ αὐτὸ B. κατ᾽ αὐτὸ G. 12. πολεμήσαντες Bm. πολεμεῖ G. 14. διαχειρίσασθαι B. αὐχειρίσασθαι G. 16. τριχὶ B. 19. Vulgo Λαβίϊνον. 21. Ῥωμαίους G. σπεύσαντα] σπείσαντα A. σπήσαντα B. πείσαντα G.

et Augustus, Actia sorore et Octaviano equestris ordinis viro natus, qui Apolloniae Epiri Graecis litteris vacans, audita avunculi nece, Romam festine revocatus, populo muneribus conciliato, levibus dissidiis cum Antonio et Lepido consularibus viris dimicans, ubique superior factus, pace demum cum illis inita Romanis sibi adversantibus sese opponere, ac senatum in Brutum et Cassium reliquosque coniuratos sententiam ferre et adversus eosdem Antonium, Lepidum seque Augustum tertium belli duces designari curavit. Lepidus quidem Romae custodiendae praefectus in urbe mansit; Antonius et Augustus in Brutum et Cassium ac socios circa Graeciae fines arma movent. Ambos itaque ceu fuga salutem prius quaerentes superant; eosdemque malorum impendentium metu manus violentas sibi ipsis inferre cogunt. Parta hoc pacto victoria Augustus et Antonius Romae restituti, universum qua late patebat Romanum imperium, ne totum dicam orbem, in partes tres dividunt. Et Augustus Europam versus Oceanum omnem sortitur, Lepido Africa, Antonio Asia cuncta obvenit. Hic cum Labienum quendam, virum inter Romanos illustrem, Bruti Cassiique partibus affectum, ad Herodem Persarum regem confugisse, et Romanis bellum inferen-

σαντα, στατηγοὺς δὲ καὶ Πάκουρον τὸν υἱὸν ἐν πολλῇ δυνάμει πρὸς τοῦτο πέμψαντα, στέλλει πρότερον στρατηγοὺς τοὺς αὐτοῖς ἀντιταξομένους, ὧν εἷς ἦν Κασβένδιδος, ὁ καὶ τὴν νίκην Ῥω-
C μαίοις διαπραξάμενος περί τε Λυδίαν καὶ ἐν τῇ Συριστὶ καλουμένῃ χώρᾳ τῆς Εὐφρατησίας. ἰσχυρῶς οὖν ἡττηθέντων Περσῶν ὑπὸ τῆς Ἀντωνίου καὶ τῆς Ῥωμαίων βουλῆς στρατηγῶν Ἡρώδης ἔτι πρὸς δεύτερον ἑτοιμάζεται πόλεμον, τοῦτο πράττοντος καὶ Ἀντωνίου.

Τότε δὴ καὶ Ἀντίγονος προπέμψας Ἰουδαίων τοὺς εὔνους κατηγορεῖ Ἡρώδου καὶ τῶν ἀδελφῶν σὺν τῷ Ὑρκανῷ. ὁ γὰρ Ἡρώδου πατὴρ Ἀντίπατρος ὑπὸ Μαλίχου φαρμάκῳ προδιεφθάρη· τοὺς κατηγοροῦντας Ἡρώδου τιμωρησάμενος Ἀντώνιος τὴν ἀρχὴν Ὑρκανῷ καὶ Ἡρώδῃ τέως ἐβεβαίωσεν, εἰς Ἀντιόχειαν ὤν.
D ἔπειτα πλειόνων κατ' αὐτῶν Ἰουδαίων ἐπιβοώντων ἀνεῖλεν αὐτῶν τοὺς προὔχοντας.

Τότε καὶ Κασσίῳ μετὰ τὴν Καίσαρος ἀναίρεσιν ὀκτακόσια τῆς Ἰουδαίας ἀφελομένῳ τάλαντα σπουδαῖος ὤφθη θεραπευτής, ἡνίκα καὶ Μάλιχον τῷ Κασσίου βουλήματι φονεύσας τὸν Ἀντιπάτρου θάνατον Ἡρώδης ἐξεδίκησε τοῦ πατρὸς αὐτοῦ. διωχθεὶς δὲ πάλιν τῆς ἀρχῆς σὺν τῷ Ὑρκανῷ προσφεύγει Ἀντωνίῳ, καὶ μὴ δεχθεὶς παρὰ τῶν Ἰουδαίων κρατερῶς μάχεται αὐτὸν διεκδι-

1. πάκουρον B. Πάκτουρον G. Πάκορον m. 3. ἀντιταξομένους B. ἀντιταξαμένους G. Κασβένδιδος] καὶ Βεντίδιος m ex Iosepho vol. II. p. 89. Conf. vol. I. p. 728. 729. τοῖς Ῥωμαίοις G. 4. λυδίᾳ A. συριστῇ B. 11. διεφθάρη B. 16. κασσίων B. 17. ὤφθη B. ὤθη G. 18. τῷ Κασσίῳ G.

dum suadere, iamque duces nonnullos, Pacorumque filium cum non contemnenda militum manu Herodem misisse comperisset, duces, quos opponeret, elegit; quorum unus extitit Ventidius, qui ad Lydiam et provinciam Syriace dictam Euphratesiam praeclaram Romanis comparavit victoriam. Persis itaque ab Antonii et Romani senatus ducibus armorum vi debellatis, ad praelium secundum reparandum Herodes intendit animum, quod pari felicitate exsequitur Antonius.

Ea tempestate Iudaeorum sibi affectos in Herodem fratresque causam dicturos pari cum Hyrcano consilio mittit Antigonus; Antipater quippe Herodis pater veneni potu a Malicho diu iam e medio fuerat sublatus. Ab Herodis accusatoribus exactae poenae; Antonius autem Antiochiae tunc repertus Herodi et Hyrcano potestatem omnem commissam declarat et Iudaeorum Herodem omni vocis contentione insequentium praecipuos occidit.

Eadem aetate post Caesaris caedem talenta 800 ab Iudaeis Cassio exigenti studiosus Imperatorum minister adhaesit Antipater; Malichum vero Cassii consiliis occidens Herodes genitoris Antipatri mortem ultus est. Deiectus iterum potestate cum Hyrcano ad Antonium se recipit; Iudaeis autem illi subjici detrectantibus, partes eius etiam ferro tueri studuit An-



κεῖν Ἀντώνιος. ὁ δὲ Ἀντίγονος ἀπογνοὺς τῆς Ῥωμαίων βοηθείας Ἡρώδῃ προσφεύγει Περσῶν βασιλεῖ μαχομένῳ Ῥωμαίοις, καὶ V. 243
κατάγεται διὰ Πακόρου παιδὸς Ἡρώδου εἰς τὴν Ἰουδαίαν, ὑπο- P. 305
σχόμενος χρυσοῦ χίλια τάλαντα Πέρσαις· Ὑρκανόν τε ζῶντα παραλαμβάνει, τοῖς ὀδοῦσιν ἐκκόψας αὐτοῦ τὰ ὦτα, ὡς μηκέτι ἱερατεύειν, καὶ τοῦτον προὔδωκεν αὖθις Πέρσαις ἄγειν μεθ' ἑαυτῶν. Ἡρώδης δὲ φυγὰς ἧκε πρὸς Μάλιχον Ἀράβων βασιλέα. τότε καὶ Φασάηλος ἀδελφὸς αὐτοῦ ἀναιρεῖται.

## ΧΡΟΝΟΓΡΑΦΙΑ.

### Ἀπὸ κτίσεως κόσμου ͵ευνη'.

Δεύτερος Ῥωμαίων μόναρχος Καῖσαρ Σεβαστὸς Ὀκταούιος, ὁ B
καὶ Αὔγουστος ἐπικληθεὶς, ἐβασίλευσεν ἔτη νϛ'.

Τῷ ͵ευξ' ἔτει τοῦ κόσμου δεύτερον ἐχρημάτισεν Αὐγούστου Καίσαρος πλῆρες, καὶ ἀρχὴ τοῦ τρίτου, ἐν ᾧ καὶ ἡ ἴνδικτος ὑπ' αὐτοῦ ἤτοι ἐπινέμησις ἐθεσπίσθη, ὡς μαρτυρεῖ ὁ μακάριος Μάξιμος ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ.

Ἰουδαίοις πρεσβευσαμένοις εἴτουν Ὑρκανῷ καὶ Ἡρώδῃ, δόγμα συγκλήτου καὶ Ἀθηναίων ψήφισμα περὶ φιλίας ἐξεπέμφθη.

Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς ἐν Γαΐταις ἀνῃρέθη τῆς Ἰταλίας, ὡς δὲ ἄλλοι φασὶν, ὅτι φαρμάκῳ διέφθειρεν ἑαυτόν. C

1. Ἀντώνιος m. Vulgo Ἀντώνιον. 3. πάκρου παιδὸς ἢ ῥώδος B. ὑποστόμενος B. 8. Vulgo Φασάϊλος. 10. ͵ευνθ' m. 13. ἔτει add. B. 17. πρεσβευσαμένοις B. πρεσβευσάμενος G. εἴτουν] Vulgo ἤτουν. 19. καὶ om. G. 20. δὲ] καὶ G.

tonius. Antigonus a Romanis auxilium consequi desperans Herodem Persarum regem cum Romanis inimicitias exercentem adit et auri talenta mille Persis pollicitus a Pacoro Herodis filio in Iudaeam reducitur; tum Hyrcano vivo comprehenso, ne amplius sacerdotio fungeretur, propriis dentibus aures abscindit et Persis secum amovendum tradit. Caeterum Herodes fuga sibi tutamen comparat apud Malichum Arabiae regem; quo tempore Phasaelus eius frater interficitur.

## CHRONOGRAPHIA.

### A mundi conditu anno 5459.

Romanorum monarcha 2 Augustus Octavius, vero cognomine Augustus, imperavit annis 56.

Anno ab orbis natalibus 5460 Augusti Caesaris annus secundus completur et init tertius, quo indictio, id est annorum distributio eius placito instituta est, teste B. Maximo tractatu de paschate.

Iudaeis, id est Hyrcano et Herodi legationem mittentibus senatus consultum Atheniensiumque decretum de servanda ad invicem amicitia vicissim missum.

Cicero rhetor vir ordinis senatorii Caietae Italiae urbe occiditur vel, ut aliis placitum, veneno sibi mortem conscivit.

Ἡ τῶν ἐν Περγάμῳ βασιλευσάντων ἐπαύσατο ἑπτὰ βασιλέων ἀρχὴ διαρκέσασα ἔτη ρνδʹ ἀπὸ τοῦ ,ετιγʹ κοσμικοῦ ἔτους ἕως τοῦ ,ευξζʹ, ὡς ἑξῆς δηλωθήσεται.

Ἀπὸ Γαΐου Ἰουλίου Καίσαρος οἱ μετέπειτα Ῥωμαίων βασιλεῖς Καίσαρες ὠνομάσθησαν, ἀπὸ δὲ Αὐγούστου Αὔγουστοι, ἐπὶ τούτου τὰ Ῥωμαϊκὰ ἤκμασεν.

Ἐλπίδιον Ἀντωνίῳ συμμαχοῦντα λαβὼν Αὔγουστος ζῶντα ἀνεῖλεν ἐν Ῥώμῃ.

Οἱ Ἀντιοχεῖς ἔνθεν ἀριθμοῦσι τοὺς ἑαυτῶν χρόνους.

Ἀντώνιον καὶ Ἐλπίδιον νικήσας Αὔγουστος εἰς φιλίαν προσδέχεται πρεσβευσαμένης τῆς συγκλήτου.

D Αὔγουστος τὴν Εὐρώπην ἐκληρώσατο, Ἐλπίδιος τὴν Λιβύην καὶ Ἀντώνιος τὴν μεγάλην Ἀσίαν.

Οὗτος ἐλθὼν ἐν Κιλικίᾳ καὶ Κλεοπάτραν μεταστειλάμενος ἁλίσκεται τῷ ταύτης ἔρωτι. κατὰ Περσῶν δὲ στρατεύσας καὶ ἡττηθεὶς ἐπανέρχεται πολεμήσων Αὐγούστῳ, πρὸς ὃν ναυμαχήσας καὶ ἡττηθεὶς ἑαυτὸν διεχειρίσατο.

Αὔγουστος πεζὸν ἐθριάμβευσε θρίαμβον.

Ἡ τῶν Ἠπειρωτῶν ἓξ βασιλέων ἀρχὴ ἐπαύσατο διαρκέσασα ἔτη Ϟʹ.

Ἔτη λδʹ τὸν Ὑρκανὸν στοιχειοῦντες κρατήσαντα Ἰουδαίων

4. Ῥωμαῖοι G. 5. δὲ om. G. 7. ἐλπίδιον B. Ελπιδίου G. ἀντωνίῳ B. ἀντώνιον A. Αντωνίου G. 9. ἑαυτῶν B. αὐτῶν G. 15. τῷ ταύτης] τῆς αὐτῆς G. 17. διεχειρήσατο B.

Regum septem Pergami regnantium desiit imperium postquam annis 154 stetit, ab anno mundi 5313 ad annum 5467, prout ex sequentibus manifestum fiet.

A Caio Iulio Caesare, qui deinceps Romanum imperium tenuerunt Caesares, et Augusti ab Augusto nuncupati sunt. Huius tempore Romanae res floruerunt.

Elpidium Antonii consiliis faventem deprehendens Augustus Romae interemit.

Aerae sibi propriae annos Antiochenses hinc exordiuntur numerare.

Antonium et Lepidum victos senatus precibus Augustus in amicitiam recipit.

Europam Augustus, Lepidus Africam, Antonius universam Asiam regendam sortitus est.

Hic in Ciliciam profectus, Cleopatrae illuc arcessitae, eius amore captus est. Moris autem in Persas armis inferior rediens bello cum Augusto decertat; eductisque in eum copiis navalibus superatus, ipse sibi necem intulit.

Augustus pedes triumphum ducit.

Regum sex Epirotarum desiit imperium, quod annis 90 steterat.

Hyrcanum annis 34 imperasse computantes ex eius annis Antigono



